Prima di entrare nel vivo del discorso, Michele chiarisce quali sono le sue intenzioni circa la composizioni del panegirico e, ponendosi in netta polemica nei confronti degli altri retori, afferma di voler seguire strade diverse da quelle dell'encomio tradizionale. Questo spunto polemico non è l'unico che troviamo nel discorso : ce ne sono diversi, a sottolineare il desiderio dello

1. In cod. Bon. gr. 2412, ff. 82 - 92ᵛ, 61 - 62 (appunto il nostro discorso).
2. In cod. Bon. gr. 2412, ff. 62ᵛ - 73ᵛ. Il panegirico appare a cura di A. M. Colesi - U. Criscuolo - F. Fusco - A. Garzya in Ann. Fac. Lett. Macerata III, 1970.
3. In cod. Oxon. Barocc. 131, ff. 229ᵛ - 230ᵛ.
4. In Anecdota Graeca Oxoniensia III, pp. 197 s. e 200 s. Cramer.
5. In cod. Oxon. Barocc. 131, f. 230ᵛ.
6. P. Lamma, La spedizione di Giovanni Comneno in Cilicia ed in Siria in un panegirico inedito di Michele Italico, in Mem. Acc. sc. Bologna, Cl. sc. mor. s.V. vol. IV, 1952, pp. 5 - 28 = Oriente e Occidente nell'Alto Medioevo, Padova 1968, pp. 339 - 367.
7. Cfr. il mio articolo in Le parole e le idee, X, 1968, pp. 101 - 105 e quello in Ann. Fac. Lett. Macerata I, 1968, pp. 275 - 306.

autore di contrapporsi, con un genere nuovo, a quanti erano rimasti fedeli alla tradizione.

Ha inizio quindi la narrazione vera e propria delle imprese di guerra con un primo riferimento all'usurpatore armeno Leone e ai suoi alleati, nonché alle difficoltà immani che Giovanni dovette superare per raggiungere e fare prigioniero il tiranno. A quest'ultimo l'Italico rivolge violente invettive, accusandolo di aver profanato le insegne imperiali e di aver usurpato la funzione regale, i peggiori delitti di cui potesse macchiarsi un Bizantino.

Dopo aver toccato brevemente il τόπος, peraltro molto frequente, della volontà di fronte al compito; dopo un'esaltazione della famiglia del sovrano e dopo il secondo τόπος della sproporzione tra le parole del retore e la grandezza delle imprese di Giovanni (il ben noto δυσέφικτον), c'è un primo accenno ai sicofanti, coloro che avevano messo in cattiva luce l'autore agli occhi dell'imperatore, ma che in séguito l'imperatore stesso aveva allontanati. Ma súbito si ritorna a parlare della spedizione e delle sue tappe : Corico, Lamo, Ascora, Tarso. Anche nell'assedio, però, l'imperatore dimostra la sua regalità : s'inserisce qui il concetto di φιλανθρωπία anch'esso topico della letteratura encomiastica [1]. L'imperatore bizantino, cioè, oppone alla violenza dei barbari la sua infinita magnanimità, con la quale tuttavia riesce a farsi sudditi devoti i popoli contro cui combatte. A proposito dell'assedio di quest'ultima città, è interessante il fatto che Michele ricordi come partecipante all'azione di guerra anche un figlio di Giovanni, molto probabilmente Alessio, il primogenito, menzionandolo come βασιλεὺς per distinguerlo dall' αὐτοκράτωρ. Sappiamo infatti che l'imperatore aveva associato al trono il figlio Alessio nell'anno 1122 e che questi lo seguí nella spedizione di Siria e che morí ad Attalia nel 1142 [2].

Seguono altre conquiste : da Tarso a Adana a Mopsuestia, dal Cidno al Saro. Come già nell'omonimo discorso di Niceforo Basilace, si deduce a questo punto che la Cilicia era occupata da 'Latini', il cui atteggiamento durante la campagna di Giovanni sembra sia stato favorevole all'imperatore. Dalla *Cronaca* di Matteo di Edessa [3] risulta che all'inizio della guerra di Cilicia alcuni principi franchi, stabilitisi appunto nelle regioni dove dominava l'elemento armeno, si mostrarono ben disposti verso i Bizantini, di cui attendevano ansiosamente l'arrivo per riprendere la guerra contro gli Infedeli.

1. Cfr. D. J. Constantelos, Byzantine Philanthropy and Social Welfare, New Brunswick 1968 (e bibl. ivi).
2. Cfr. F. Chalandon, Les Comnène II, Paris 1912, pp. 12.
3. Cfr. E. Honigmann, Die Ostgrenze des Byzantinischen Reiches von 363 bis 1071, Bruxelles 1935; Chalandon, op. cit., p. 114.

È per questo che vediamo Baldovino di Marash entrare in rapporto con l'imperatore greco e supplicarlo di venire in soccorso del suo territorio minacciato da un attacco dei Musulmani.

Ma tutte queste imprese — prosegue l'Italico — avrebbero bisogno di essere celebrate da poeti e oratori di grandissimo talento e invece non ci sono altro che «giambografi da strapazzo» (Prodromo?) a profanarle con la loro empietà. Tuttavia questi ricevono ogni onore e considerazione, mentre quelli che ne sarebbero veramente degni, sono attaccati dalla maldicenza e dalla sventura. Come già in precedenza [1], Michele insiste sul tema della calunnia, di cui dovette pagare molto duramente le spese. È proprio in queste parole, accese di sdegno e di passione, che ci appare la personalità dell'uomo.

L'assedio di Anazarbo, che segue súbito dopo, ebbe vasta eco nella pubblicistica del tempo. La difficoltà naturale e gli apprestamenti difensivi degli Armeni, che ricorsero al lancio di proiettili infocati contro le artiglierie imperiali, sono ricordati, oltre che da Niceta Coniata [2] e da Giovanni Cinnamo [3], anche dal Basilace, fonte coeva, con una descrizione che coincide esattamente con quella di Michele [4]. La conquista della città risale al luglio 1137. L'assedio di codesta città dà lo spunto all'Italico per una celebrazione della stirpe armena dei Rupinidi, da cui discendeva l'usurpatore Leone; e, per dare maggior merito alla vittoria di Giovanni, egli fa dei Rupinidi i discendenti dei valorosi Arsacidi, che «portarono Pompeo quasi all'estrema rovina».

Dopo aver esortato nuovamente Leone ad arrendersi alla forza di Giovanni ed aver descritto le reazioni di giubilo del popolo di Costantinopoli all'annunzio della vittoria dell'imperatore, Michele c'introduce nell'argomento dell'assedio di Antiochia, preludio alla campagna di Siria. In séguito alla conquista della Cilicia la via per la Siria era aperta a Giovanni e nell'agosto del 1137 egli si trovava già sotto le mura di Antiochia, avendo posto l'accampamento sulla sponda settentrionale dell'Oronte [5]. Dopo varie vicende [6], il principe di Antiochia, Raimondo di Poitiers, si arrese : prestò giuramento di obbedienza e di sudditanza e promise di collaborare con Giovanni nella campagna contro Aleppo, Schaizar e altre città vicine, che, una volta conquistate sarebbero passate nelle sue mani in cambio della cessione di Antiochia all'imperatore. Fin qui concordano tutte le fonti [7]. Ma quello in cui Michele

1. Cfr. a 176; v. anche 489 ss.
2. I 7 CB.
3. I 7 CB.
4. Niceforo Basilace, Encomio per Giovanni II Comneno 343, 27, Regel.
5. Cinnamo, I 8 CB.
6. Cfr. F. Chalandon, op. cit., pp. 147 ss.
7. Cinnamo, I 8 CB.

si differenzia dagli altri è la notizia dell'omaggio feudale tributato, oltre che da Raimondo, anche dal conte di Edessa e dal re di Gerusalemme a Giovanni, fatto che è del resto intuito dallo Chalandon[1] come obiettivo finale dell'azione di Giovanni. Il silenzio delle altre fonti su questo argomento può essere dovuto probabilmente alla diversa situazione dei tempi in cui Niceta e Cinnamo scrivevano.

Segue poi, dopo parole di ammirazione per l'abilità e la fortezza dell'imperatore nel sopportare le fatiche, un breve accenno all'assedio di Aleppo — una delle piú forti rocche dell'Islam in Siria —, che, secondo le fonti, non diede a Giovanni i risultari sperati, tanto che egli dopo un primo tentativo fallito, si affrettò a rimettersi in marcia. Tale decisione dell'imperatore è ritenuta saggia da Michele, mentre nella narrazione del Basilace l'attacco ad Aleppo sembra addirittura essere terminato con successo[2].

Né migliore fortuna ottenne Giovanni a Larissa, dove, per la saldezza delle fortificazioni, non riuscí a penetrare. Ma anche questa volta Michele mette in rilievo i risultari positivi, attenuando o lasciando in ombra gl'insuccessi e gli obiettivi non raggiunti. Si spiega l'insistenza sul bottino e sulla rapidità dell'impresa, quasi a voler mettere a confronto l'abbondanza di questo con la breve durata di quella.

Si passa poi ad un altro argomento estraneo alle guerre : la riconciliazione tra Giovanni e il fratello Isacco, della quale abbiamo notizia anche in Niceforo Basilace[3], e poi in Niceta[4] e che è anch'essa una conferma, secondo Lamma[5], della grande fama che a Giovanni dovette venire in séguito a questa spedizione, se Isacco fu costretto a rinunciare alle sue aspirazioni al trono.

L'ultimo grande quadro di questo discorso è constituito dalla rappresentazione del trionfo antiocheno e da tutta la pompa e la solennità con cui la città accolse il suo salvatore. In questa descrizione, pur tra l'enfasi, l'Italico raggiunge addirittura punte di vera commozione. Ma per Giovanni le lotte non sono ancora terminate : dovrà affrontare sulla via del ritorno le popolazioni turche del Tigri, dell'Eufrate e del Sangario prima di poter tornare a Costantinopoli.

Il panegirico si conclude con l'invito a Giovanni ad allontanare e punire i calunniatori di Michele, per la fedeltà che egli ha sempre dimostrato verso la famiglia imperiale e in particolare verso l'imperatrice Irene, della cui corte

1. Cfr. F. Chalandon, op.cit., p. 111.
2. Niceforo Basilace, op.cit., 350, 21 ss. Regel.
3. Cfr. 348, 14 ss.
4. Cfr. I 9, p. 43, CB.
5. P. Lamma, op.cit., p. 364 s.

si professa membro[1]. Quest'ultimo accenno c'induce a fare l'ipotesi che le ingiurie e le calunnie di cui fu vittima venissero all'Italico proprio da ciò, in quanto in passato l'imperatrice era stata contraria all'ascesa di Giovanni al trono e aveva invece appoggiato la figlia Anna e il marito di questa Niceforo Briennio. È quindi probabile che Michele, essendo un suo cortigiano, si fosse inimicato l'imperatore e avesse dovuto subire un doloroso esilio in patria.

1. Qualche cenno sull'argomento in G. Mercati, Gli aneddoti di un codice Bolognese, in BZ IV, 1897, pp. 126 - 143 = Op. minori I, Città del Vaticano 1937, pp. 483 - 487.

Eiusdem Italici oratio regia in Ioannem Comnenum imperatorem Porphyrogenitum e Syria debellata redeuntem.

1. *Πλάτωνι Σωκράτης πεποίηται, θειότατε αὐτοκράτορ, ὑπό τινα μὲν πλάτανον περὶ τὸν Ἰλισὸν καθεζόμενος καὶ φιλοσοφῶν ἄττα δὴ καὶ φιλοσοφεῖ μετὰ Φαίδρου τοῦ Μυρρινουσίου· φοβούμενος δὲ τοὺς ὑπὲρ κεφαλῆς αὐτοῦ τερετίζοντας τέττιγας καὶ τὰ μεσημβρινὰ μουσουργοῦντας, μή πως, ἐληλυθότας παρὰ τὰς Μούσας, κατείποιεν αὐτοῦ πρὸς τὴν πρεσβυτέραν τῶν Μουσῶν Καλλιόπην, εἰ μή τι καὶ περὶ ποιητικῆς καὶ ῥητορικῆς διαλέγοιτο — ἔστι γὰρ ταῦτα τῆς Μούσης ἐκείνης ⟨τὰ⟩ ὄργια —, ἔνθεν τοι καὶ εἰς τὸν περὶ τούτων λόγον εὐαφόρμως ἐμβαλεῖν τὸν φιλόσοφον.*

b *Ἐγὼ δὲ τέττιγας μὲν καὶ λήρους τινὰς οὐκ ἂν φοβηθησοίμην, μή μου κατεροῦσι πρὸς τὴν Καλλιόπην ὡς τῶν λόγων καταμελήσαντος· τοῦτο γάρ ἐστιν ὡς ἀληθῶς 'φοβηθῆναι φόβον', οὗ μὴ ἔστι | φόβος. παίδων γὰρ οἱ μῦθοι* 82v *τυγχάνουσι φόβητρα, πεφόβημαι δὲ αὐτήν, θεσπέσιε βασιλεῦ, — εἰμὶ γὰρ ἤδη γέρων — τὴν τῶν πραγμάτων ἀλήθειαν, μή με τοῦ χοροῦ διαγράψειε τῶν λογίων καὶ φιλοσόφων, εἰ μὴ τοὺς σοὺς ἀγῶνας καὶ πόνους δ ι ὰ σ τ ό μ α τ ο ς ἔ χ ο ι μ ι. κατωλιγώρηκα γὰρ ἂν οὕτω τῶν λόγων, ὡς ἀληθῶς μεγίστην δόξαν αὐτοὺς ἀφαιρούμενος. γίνονται γὰρ οἱ ἀγῶνες οἱ σοί, βασιλεῦ, τοῖς λόγοις λαμπρότητες, ἀλλ' οὐκ αὐτοὶ παρὰ τῶν λόγων λαμπρύνονται. καὶ γὰρ περὶ τοῖς λόγοις ἐμμαρμαίρει τι δόξης ἀγλαὸν εἴδωλον, ἀνακλώμενον ἀπὸ τῶν ἀγώνων ἐπὶ τοὺς λόγους, ὥσπερ ἐν ἐσόπτροις αὐτοῖς ἐμφαινομένης τῆς πράξεως.*

c *Πῶς οὖν οὐ διαβεβλησοίμην καὶ Μούσαις ὅλαις καὶ λόγοις αὐτοῖς, βασιλεῦ, δόξης οὕτω μεγίστης ἀποστερίσκων τοὺς λόγους προσγινομένης ἀπὸ τῶν ἔργων τῶν σῶν; εἰ σὺ μὲν τὰς ἠπείρους ἄμφω θαυμάτων ἐπλήρωσας, ἡμεῖς δὲ σιγῶμεν, ἀλλὰ πιπτέτω φθόνος, ἀπεληλάσθω συκοφαντία, καὶ ὁ ταῦτα πλάσας καὶ τρώσας ἐξ ἀφανοῦς ἡμίγυνος ὄντως 'θιασώτης τῆς Κότυος'. οὔτε τὰ πρότερον ἐσιγῶμεν, ἀλλ' εἴπερ τις ἄλλος ἠχήσαμεν διαπρύσιον καὶ τοῖς ἀπὸ τῆς γλώττης λόγοις καὶ τοῖς ἐκ μέλανος.*

d *Καὶ νῦν ἐπὶ τοῖσδε τοῖς κατορθώμασιν ἅπασαν καὶ γλῶτταν ἐπῆρε πρὸς λόγους καὶ ἀκοὴν πρὸς ἀκρόασιν. οὐκ εἶχον ὅπως ἐμαυτὸν καθέξω τῶν λόγων,*

2 s. cf. Plat. Phaedr. 229 A 11 Marc. 4, 41 *(ἐφοβήθησαν)* 14 s. Ar. Lys. 855 *(στόμα)* 25 Synes. ep. 44 = 658, 39 H. 28 *καὶ νῦν* ∼ *κατορθώμασιν* : de expeditione in Syriam agitur

Cod.: Bon. gr. 2412 (cf. V. Puntoni, SIFC IV [1896] 371 = C h r i s t a S a m b e r g e r, Catalogi etc., I = Lipsiae 1965, 120) = B.

I n s c r i p t i o : *τοῦ αὐτοῦ Ἰταλικοῦ λόγος βασιλικὸς εἰς τὸν αὐτοκράτορα Ἰωάννην τὸν Κομνηνὸν καὶ Πορφυρογέννητον ἐπὶ τοῖς κατὰ Συρίαν ἀγῶσιν αὐτοῦ* 2 *Ἰλισὸν* scripsi : *Εἰλισσὸν* B (cf. Paus. I 19, 5 codd.) 7 inserui

ἀλλὰ καθ' ἑκάστην ἀγῶνος φήμην οἵ τε πόδες εἶχον εὐθὺς τὸν ὀκρίβαντα καὶ ὄχλος συνέρρει καὶ ἡ γλῶττα κατακρότους ἐποιεῖτο τὰς πάντων μήνιγγας. οὐδὲ γὰρ οὐδ' ἠδυνάμην μένειν ἐφ' ἑαυτοῦ, ἀλλὰ περιεσάλπιζον ἅπαντα, περιήχουν περιεκρότουν, ἐβουλόμην μηκέτι μένειν, ὅπερ εἰμὶ νῦν, ἀλλ' εἰς φωνὰς ἀναλυθῆναι πολλὰς ἢ καὶ εἰς γλώττας μερίζεσθαι πλείονας. καὶ μὴ κόλακας ἡγήσῃ τοὺς λόγους, ὦ βασιλεῦ· τοιαῦτα γὰρ τὰ σὰ διηγήματα καί, εἴπερ αὐτὸς μετεβεβλήμην | εἰς τοσαύτας γλώττας ὅσα τὰ μόρια, εὖ ἴσθι, ὡς ὑπερη- 83 *γάμην ἂν τὴν μεταβολήν, ἵνα διὰ πασῶν ἀνευφήμουν τὰ μεγαλεῖά σου. καὶ ταῦτα μὲν οὐκ ἀμάρτυρα οὐδ' ἀναπόδεικτα λέγεται· ἀλλ' 'ἁμέραι μὲν ἐπίλοιποι μάρτυρες σοφώτατοι' — φησὶ Πίνδαρος —, ἐγὼ δὲ καὶ τὰς προειληφυίας παρέχομαι καὶ ὅλην ἐκκλησίαν αὐτὴν τοὺς συκοφάντας ἀποταφρεύουσαν.*

2. *Ἐπεὶ δὲ δεῖ καὶ βιβλίον ἀνελίττειν καὶ παρελθόντας εἰς μέσους ὡς ἐξ ὀργάνων τινῶν τῶν γραμμάτων καταμουσουργῆσαι τὰ σά, πάρειμι δῆτα κιθάραν ἁρμοσάμενος λογικήν, ἢ 'ψαλτήριόν' τι 'δεκάχορδον', τὰς ψυχικὰς δυνάμεις ἁπάσας, ὃ καὶ 'ψάλλειν' ὁ θεῖος Δαυῒδ παρακελεύεται 'τῷ Θεῷ', καὶ αὐτὸς κιθαρίσων καὶ καταμουσικεύσων τὰ σὰ θαυμάσια. ἐὰν ἄρα οἷός τε ὦ πάντα προσαρμόσαι τοῖς ἐμοῖς κρούμασι, σὺ δέ, θεσπέσιε βασιλεῦ, εἴ που τι ταῖς ἐμαῖς χορδαῖς ἐκμελὲς καὶ παράφωνον φαίνοιτο, ἀλλὰ μετατίθει τοὺς φθόγγους πρὸς τὸ ἀρρενωπότερον, ἐπὶ τοὺς ὑπατοειδεῖς ἀπὸ τῶν νητῶν μεταφέρων, τούς τε τρόπους εἰς τοὺς Δωρίους μετάβαλλε καὶ μεταρρύθμιζέ μοι τοὺς ῥυθμοὺς ἐπὶ τὸ μεγαλοπρεπέστερον. πάντα γὰρ ἐνταῦθα νεανικά τε καὶ ἀνδρικώτατα, καὶ Ἀχιλλέως κιθάρας ἐπιδεόμενα καὶ ἡρωικῶν τινων φθόγγων, οἷς ἐκεῖνος 'τὰ κλέα τῶν ἀνδρῶν' ἐν ᾠδαῖς διεξήρχετο. 'ἄγε τοίνυν, χέλυ δῖά' — μοι λεγέσθω γὰρ ἐπικαίρως τὸ τῆς Σαπφοῦς — φωνητικωτέρα τε γίνου καὶ εὔφωνος καὶ πολύφωνος καὶ τὰ βασιλέως οὖν αἴνει καλά. καὶ μή τις ἐνταῦθα ῥήτωρ ἀπαιτείτω με γένος καὶ ἐπὶ τῷ γένει τὴν γέννησιν, καὶ οἷς ὑμεῖς κατὰ τὴν ὑμετέραν ῥητορικὴν διαπλέκετε τὰ ἐγκώμια. ἕτερον γὰρ ἐγκωμίου εἶδος ὁ λόγος ἐνταῦθα προβάλλεται καὶ ἀφ' ἑτέρων ἀξόνων νομοθετούμενον.*

3. *Αὐτὸς μὲν οὖν, ὦ βασιλεῦ, ἐξιππάσω πρὸς Κίλικας, διὰ | τῶν Τεμπῶν* 83v

30 *τὸν ὀκρίβαντα* : ad S. Sophiae pulpitum adluditur 38 s. Pind. Ol. 1, 33 s. *(ἁμέραι δ' ἐπίλοιποι)* 43 s. Septuag. ps. 91, 4 *(ἐν δεκαχόρδῳ ψαλτηρίῳ)*, 143, 9 *(ἐν ψαλτηρίῳ δεκαχόρδῳ)* 44 Septuag. ps. 67, 34 *(ψάλατε)* 48 cf. Aristid. Quint. mus. I 11 = p. 22, 11 ss. Winn. - Ingr. 52 Hom. Il. IX 189 *(κλέα ἀνδρῶν)*, Od. VIII 73 *(κλέα ἀνδρῶν)* 52 s. Sapph. fr. 118 LP ex Hermog. id. II 4 = 334 Rabe Eustath. 9, 41 (corrupte traditum) 59 s. *ἐξιππάσω* ∼ *ὁδεύσας* : de itinere in Ciliciam expeditionis agitur; cf. Nic. Chon. I 7 CB; Niceph. Basil. in Ioan. Comn. 337, 20 = or. 21 Regel FRB

33 *οὗπερ* fort. scribend. 36 *μετεβε*λήμην* B 36 s. *ὑπερηγάμην* scripsi : *ὑπερηγώμην* B 53 *δῖα* scripsi : *δία* B 59 **εν* B

Παμφυλίας ὁδεύσας, ὅθεν Ἀλέξανδρος ἐκεῖνος κατὰ Περσίδος ἤλασε πρότερον· καὶ καθάπερ τις 'ἀετὸς ὑψιπέτης' ἐπὶ τὰς τῶν ὀρῶν κορυφὰς μετὰ ῥοίζου πολλοῦ φερόμενος, τὸν Κιλίκιον Ταῦρον περιεπόλευες, οἷά τινας νεβροὺς καὶ πτῶκας τοὺς ἐκεῖσε βαρβάρους περιπαπταίνων. ἔνθα δὴ καὶ τὸν βασιλίσκον Λέοντα κατελάμβανες — οὕτω γὰρ ἐγὼ καλῶ τὴν αὐτοῦ βασιλείαν — ὅτι καὶ αὐτὸς 'ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπέβης' ἀληθῶς 'καὶ κατεπάτησας λέοντας καὶ' τοὺς συναποστάτας ἅπαντας 'δράκοντας'. καὶ σὺ μὲν οὕτως, 'ἡ δὲ φήμη' ταῦτα διήγγελλε 'πτερῶν ταχυτέρως' καὶ μετ' ἐκείνην τὰ βασιλικὰ προσανεκήρυττε γράμματα. καὶ ἐπὶ τούτοις ἅπαντα τὰ πάντα κατεῖχε ὁμοῦ, εὔροια μὲν τὰς γλώττας, σύρροια δὲ τὰ πλήθη, θαύματα τὰς ψυχάς, βολαὶ τὸν ἀέρα. καὶ πάντες ἐξεχέομεν τὴν ψυχὴν ἐπὶ σοί, καὶ οἱ ἀκούοντες καὶ οἱ λέγοντες· ὥσπερ γὰρ τοῖς ὅπλοις κρατεῖς τῶν βαρβάρων, οὕτω χειροῦσαι τοὺς ὑπηκόους τοῖς θαύμασιν.

b Εἶτα, ὦ, τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι, Ἀρμένιε βάρβαρε; ὁ τοῦ Διοσκόρου συνθιασώτης καὶ τοῦ Σεβήρου συγχορευτὴς καὶ ὅ σοι τούτου τοῦ κόμματος; σὺ κάθαρμα βασιλείας προφέρεις καὶ τοὔνομα; σὺ βασιλεύς; σὺ τὸ διάδημα; σὺ τὸ πέδιλον; ἔπειτα πῶς οὐκ ἐνενόεις ἐπὶ σαυτὸν ἕλκων τοὺς αὐτοκράτορας κεραυνούς; ὑπὲρ τὸν Ἰξίονα τὸ θράσος, τὴν ὕβριν ὑπὲρ τὸν Τάνταλον, Σαλμωνεὺς ἄντικρυς ἄνθρωπος.

c Ἀλλὰ πρὶν ἥκειν εἰς τοὺς τυράννους τούτους καὶ ἀποστάτας, παρόδους τινὰς ἐμηχανῶ τῷ στρατεύματι. καὶ αὐτίκα ἐλαξεύετο μὲν ὄρη καὶ τοῦτο δὴ τὸ προφητικόν· «πᾶς βουνὸς ἐξεταπεινοῦτο καὶ πᾶν σκολιὸν εἰς τὸ εὐθὲς μετετίθετο καὶ τὰ δυσπόρευτα εἰς εὐπόρευτα». οὐκ ἔπεμπες δὲ | αὐτοῖς διὰ τῶν ὀρῶν τὰς ὁλκάδας **84**
οὐδὲ τῷ ῥοθίῳ τὴν ἵππον ἐπῆγες, πλέειν μὲν ἐθέλων τὸν Ἄθω καθιππεύειν δὲ τὸν Ἑλλήσποντον, ὥσπερ οὐκ εἰδὼς τὰς ὁδούς, τὰ Περσικὰ ταῦτα κατὰ τῶν στοιχείων καινοτομήματα. ἀλλὰ γὰρ ἄγγελος ὢν θεοῦ καὶ παρ' ἐκείνου

61 Hom. Il. XII 201 61 s. Hom. Od. IX 315 *(πολλῇ δὲ ῥοίζῳ)* 64 s. *Λέοντα*: Leo Armenius, qui, postquam maximam Ciliciae partem occupaverat, usque ad Seleuciam et Isauriam fines suos extendit. Cf. Cinn. I 7, p. 16 CB Nic. Chon. I 7, p. 29 CB Niceph. Basil. cit. 337, 27 Regel 65 s. Septuag. ps. 90, 13 *(ἐπ' ἀσπίδα ... ἐπιβήσῃ ... καταπατήσεις λέοντας ... δράκοντα)* 67 Achill. Tat. VI 10, 4 s. Gasel. *(ταχυτέρα)* 74 *Διοσκόρου ... Σεβήρου*: duo doctrinae illius assectatores, quae in unam Christo naturam divinam inesse contendit 77 *Ἰξίονα*: cf. Aesch. fr. 314. Mette necnon Pind. Pyth. 2, 21 ss. 78 *Τάνταλον*: cf. Hom. Od. XI 582 necnon Pind. Ol. 1, 56 ss. *Σαλμωνεύς*: cf. Hom. Od. XI 236 necnon Pind. Pyth. 4, 143 81 ss. Septuag. Is. 40, 4 *πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν* 84 s. cf. Herod. VII 22 s. 33 ss.

63 *νεβροὺς* scripsi : *νευροὺς* B *τοὺς* scripsi : *οὓς* B 73 *ὦ τί* B : an *ὅ τι* scribend.? *ἀρμένιε* B 83 *ἔπεμπ*ς* B

πεμπόμενος, κατεσκεύαζες τὴν κατὰ τῶν πολεμίων ὁδὸν ἔμπροσθεν τοῦ στρατεύματος· καὶ τοῦτο πρῶτον μανθάνουσιν, ὡς ἄρα μάτην θαρσοῦσι ταῖς ἀκρωρείαις· πορθεῖς γὰρ καὶ αὐτὰς ὅλα Τέμπη λαξεύων καὶ καταβιβάζων εἰς πεδιάδας τὰ τῶν ὀρῶν ἀναστήματα. ὢ καὶ βαρβάρους καὶ ὄρη μετακινῶν! ὢ κρείττονα δείξας τὴν δεξιὰν καὶ τῆς τῶν ὀρῶν ἀσφαλείας! ἵδρυται μὲν γὰρ ἐκεῖνα καὶ πεπαγίωται, τὸ δὲ σὸν βούλημα καὶ τούτων γέγονε βιαιότερον· καὶ ταὐτὸν δύναται Θεός τε τινάσσων τὴν γῆν ἐν σεισμῷ καὶ βασιλεὺς μηχαναῖς αὐτὴν μεθιστῶν. Ἀρχιμήδης δὲ λῆρος διὰ τὸν Καρυστίωνα τὸ πολύσπαστον ὄργανον ὑπερόγκους λόγους φθεγγόμενος· «'πᾶ βῶ' καὶ κινῶ τὰν γᾶν;»

4. Οἷον ἡμῖν, ὦ πορφύρα, τὸν Ὀλυμπιονίκην τοῦτον ἐξέθρεψας! πυκτεύεις γάρ, βασιλεῦ, ὥσπερ ἐν σταδίῳ ἐν μέσῃ τῇ οἰκουμένῃ καὶ παίεις ἀμφιδεξίως τοὺς ἐξ ἑκατέρων ἠπείρων βαρβάρους διπάλτῳ χειρί, καὶ σκότου καὶ δίνης πληρῶν. ἐπ' ἀμφότερα συνωθεῖς τοὺς ὁρίζοντας καί μοι δοκεῖς τῇ ἐπιδορατίδι κύκλῳ τῶν περάτων ἐφάπτεσθαι καὶ τὸ κράτος ἀνευρύνειν ἐπὶ τοσοῦτον, εἰς ὅσον κατὰ μῆκος καὶ πλάτος ἡ οἰκήσιμος ἔγνωσται. τὸ γὰρ ἐπέκεινα 'Γαδείρων οὐ περατόν', ὡς, εἴγε τὸ βάθος καὶ ταύτης τῆς χώρας ἐθάρρεις, καὶ τούτοις ἂν ἔδειξας τὸν τοῦ δόρατος σίδηρον ἐξαστράπτοντα — οὐ γὰρ οἶδας καθεύδειν οὐδὲ πρὸς τοὺς καιροὺς εἰρωνεύεσθαι —, 'ἐπεὶ μάθες ἔμμεναι ἐσθλός'. πόθεν ἔφυς, ὦ βασιλεῦ; 'τίς | πόθεν ἧς ἀνδρῶν;' ὡς ἀκάμας **84v**
γάρ τίς μοι φαίνῃ καὶ ἀεικίνητος καὶ τὴν φύσιν αἰθέριος καί σε ὁ δημιουργήσας θεὸς ἐγρηγορότητος στήλην ἔστησεν ἔμψυχον.

b Οὐ γὰρ ἔχω τί λέγειν ἕτερον, ἀλλ' ἐπειδὰν ἀφήσω τῷ πελάγει τῶν σῶν ἀρετῶν πολλοῦ θάμβους ὑποπλησθείς, τὴν γνώμην συγχέομαι καὶ πρὸς τοιούτους ἐξ ἀνάγκης καταίρω λιμένας· ἀποπειρώμενος δὲ καὶ τῆς ἐμῆς ἐνταῦθα ἐν λόγοις δυνάμεως, τὴν τῶν περὶ τοὺς ἀριθμητικοὺς μαθηματικῶν εὑρίσκω ἀντιπεπόνθησιν. τὰ σὰ μὲν ἀεὶ ἐπὶ τὸ μεῖζον προκόπτοντα καὶ ἄλλο ἐπ' ἄλλῳ πληθυνόμενον τρόπαιον ὥσπερ τοῖς χρόνοις συνεπαυξάνοντα· τὸ δ' ἡμέτερον θαυμαστόν, εἴπερ θαυμαστὸν τὸ παράδοξον. παραμετρούμενος γὰρ ὁ λόγος τοῖς σοῖς, ἐπὶ τοὔλαττον προχωρεῖ καὶ οὐ παύεται τῆς τοιαύτης κατατομῆς, πρὶν ἥκειν εἰς πλεῖστον τὸ ἀντικείμενον· ὥστε — πῶς ἐξισωθήσεται τὰ ἐλάχιστα τοῖς μεγίστοις; τοῦτο γὰρ οὐδ' οἱ γεωμέτραι διδόασιν — ἀλλ' οὔ τί γε καὶ σιγῶμεν παντάπασιν, εἰ μὴ τὸ πᾶν ἠχῆσαι δυνάμεθα, ἀλλὰ βοῶμεν, ὦ βασιλεῦ, βοῶμεν ὅσον ἡ φύσις χωρεῖ καὶ 'ἡ τέχνη τῶν λόγων' δίδωσι· 'ναὶ νὴ τὴν ἐπί σοι καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ!'. οἱ γὰρ συκοφάνται τὰ πάντα ψευδεῖς καὶ τὸ λαμπρὸν τῆς ἀληθείας ἔστιν ὅπου καταρρυπαίνουσιν.

94 s. cf. Plut. Marc. 14, 12. quid tamen verba *τὸν Καρυστίωνα* velint, non liquet 95 Eur. Hec. 1056 et 1080 102 Pind. Nem. 4, 69 104 s. Hom. Il. VI 444 *(μάθον)* 105 Hom. Il. XXI 150 *(εἰς ἀνδρῶν)* 106 s. Plat. Soph. 265c *(θεοῦ δημιουργοῦντος)* 109 Herod. VII 142 *(συνεχέοντο αἱ γνῶμαι)* 119 Arist. rhet. I 1354a *(τὰς τέχνας)* 120 Paul. 1 Cor. 15, 31 *(νὴ τὴν ὑμετέραν καύχησιν)*

5. Ἐντεῦθεν ἐπὶ τοὺς Κωρυκαίους Τυφῶνας χωρεῖς, οὕς, καὶ κατακεραυνώσας τοῖς σοῖς βέλεσι, βασιλεῦ, καὶ λίθοις καταχώσας, ἠφάνισας. καὶ τίς ἄρα τοὺς ἐκεῖ σου ἀγῶνας ἐκδιηγήσεται; ποία Μοῦσα, τίς Ὅμηρος; τίς τοὺς ἀνὰ τὸν Λάμον οὐλαμούς; τίς τὰ κατὰ τὴν Ἄσκοραν εὔσκοπά σου τοξεύματα ἢ τὴν ἐκεῖθεν αἰχμαλωσίαν καὶ τὰ πρῶτα τῆς Κιλικίας λάφυρα καὶ πρωτόλεια;

b Ἐντεῦθεν ἐπὶ τὸν Κύδνον μεταχωρεῖς | καθάπερ τις λαῖλαψ ἐξαισία 85 πάντα κλονῶν τε καὶ ξυνταράττων καὶ τρόπον νηῶν τοὺς βαρβάρους ἐς μέσον ἐλαύνων τὸ τῶν συμφορῶν πέλαγος· ὥστε τίς οὐ θαυμάσεται τοὺς ἐκεῖσε τελεσθέντας ἀέθλους, δι' ὧν τὰς ἀνέκαθε πόλεις Ῥωμαίων, πάλαι προηρπαγμένας, ἐπανασώζεις; καὶ οἷά τις θεὸς ἀπό τινος αἰχμαλωσίας πολυχρονίου πάρει ταύτας ἀναρρυόμενος. εὐθὺς οὖν οἱ ἀλαζόνες ἐκεῖνοι τειχήρεις ἐγένοντο καὶ ἀπέκλειόν σοι τὴν εἴσοδον· ἀλλὰ σὺ τοῖς σοῖς στρατιώταις, ὥσπερ τινὰ φ ῶ ν ο ν Ἐνυάλιον ἐμβοήσας τὴν τῆς πόλεως πόρθησιν, 'μένος καὶ θάρσος' τούτοις ἐμβέβληκας, εἶπεν ἄν τις, Ἀθηνᾶ Διομήδει ἢ Μακεδόσιν ἐν Μαρακάνδοις Ἀλέξανδρος. καὶ αὐτίκα σχεδόν τοι τοῖς ὀδοῦσιν ἐκεῖνοι τὰ τείχη κατέτραγον, καὶ τὰ ἐφεξῆς — Ὅμηρος τραγῳδῶν συμπληρούτω μοι· ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε 'πῦρ ἀμαθύνει' καὶ ὅσα ἐκεῖνος ταῖς πορθουμέναις πόλεσιν ἐπεισάγει δεινά. εἰ δὲ καὶ τραγῳδία πλέκεται οἴκτῳ καὶ θαύματι, ὥς φασιν οἱ τεχνῖται τῶν λόγων, οἶκτος μὲν ἐνταῦθα τοῖς βαρβάροις ἡ συμφορά, θαῦμα δὲ ὁ τοῦ αὐτοκράτορος οἶκτος σπενδομένου 'τοῖς ἀκαταλλάκτοις' φιλανθρωπότατον.

c Τελευταία τούτοις ἡ ἀκρόπολις ἄγκυρα, ἀλλὰ καὶ ταύτης καὶ ἄκοντες ἀπορρήγνυνται, καθάπερ τινὸς καταιγίδος τούτοις ἐπεισπεσόντος ἐξ ἀπροσδοκήτου τοῦ ἐκ σοῦ φύντος βασιλέως ἡμῶν καὶ τὴν τειχόμαχον μηχανήν, φοβερὸν ὄλεθρον, αὐτοῖς ἐπιστήσαντος. ὡς δεινόν τινα πολιορκητήν, ὦ βασιλεῦ, τοῖς βαρβάροις ἄρα 'καταλιμπάνεις' ! οὐδὲ γὰρ ἱπποκένταυρός τις ἀλαζὼν τοῦτον ἐθρέψατο τῷ αὐτῷ ἅμα ἱππαζόμενόν τε καὶ διδασκόμενον, ἀλλὰ παῖς παρὰ πατρὸς φύσει τὰ τῆς ἀρετῆς ἐκπεπαίδευτο. ἀλλ' ὦ ἀνίκητοι καὶ | ἀήτ- 85v

122 τοὺς Κωρυκαίους : de Coryco agitur, Ciliciae primae urbe. cf. RE XI 1452 125 τὸν Λάμον : flumen scil., de quo Steph. Byz. 409, 12 ss. 125 Ἄσκοραν : urbem non inveni 130 s. τοὺς ἐκεῖσε τελεσθέντας : de Tarsi obsidione agitur. Cf. Niceph. Basil. cit. 340, 4 Regel 135 φῶνον : hapax de Marte dictum ap. Eup. fr. 298 Kock ex sch. Ar. av. 42 135 Hom. Il. V 2 Od. I 321 136 cf. Hom. Il. V 122 ss. 136 s. cf. Arrian. anab. Al. IV 5, 3 = p. 181, 14 ss. R. 139 Hom. Il. IX 593 140 cf. Arist. poet. 5, 1449 b 142 Diod. Sic. XII 20, 3 Vog. - Fisch. *(ἀκατάλλακτον)* 146 βασιλέως : de Alexio Comneno fortasse agitur. Cf. tamen ad Cinn. I 7, ubi Isaacus nominatur 148 Septuag. gen. 39, 16

136 Μαρακάνδοις scripsi : μαρακάδαις B 142 φιλανθρωπότατ(ον) B. an φιλανθρωπότατ(ος) ?

τητοι! 'πρὸς δύο — φασίν — οὐδ' Ἡρακλῆς'. εἰ δὲ πρὸς ἕνα τὸν αὐτοκράτορα οὐκ ἀντέσχεν οὐδὲ ξύμπασα ἡ Ἀσία, τί τάχα δράσαιεν, Ἡρακλέους προσλαβόντος καὶ τὸν Ἰόλεων; τίνες ὕδραι πολλὰς ἐκφύουσαι κεφαλὰς ὑμᾶς ὑποστήσονται; σὺ μὲν γάρ, ὦ αὐτοκράτορ, αὐτὸς ἀποκόψεις, σὺ δ', ὦ βασιλεῦ, αὐτὸς ἐπικαύσεις καὶ οὕτως ὅλον τὸ θηρίον καταγωνίσεσθε. μὴ καλείσθω Ταρσὸς ἡ Ταρσὸς ἐξ ὁπλῆς Πηγάσου τινὸς ἐκεῖσε πτερορρυήσαντος, μηδ' ἀπὸ Ταρσοῦ τοῦ Περσέως παιδὸς αὐτοῦ που διολισθήσαντος, μηδὲ Κίλικες ἀπὸ Κίλικος! ἀφ' ὑμῶν δότε τὰς προσηγορίας τοῖς τόποις, ὦ βασιλεῖς· μείζονα γὰρ παρ' ὑμῶν ἢ παρ' ἐκείνων ἐνταῦθα τὰ θαύματα.

6. Καὶ σὺ μὲν οὕτω Κίλικας ἐθάμβεις Κελτοὺς ἐφόβεις, Ταρσὸν ἐχειροῦ Ἀδάνης ἐπέβαινες, τὰς Μόψου πόλεις ὅπλοις ἐλάμβανες. ἡμεῖς δὲ τούτοις ἐπεκροτοῦμεν, οὐκ ἐσιγῶμεν, οὐ — μὰ τὰς ἐπὶ Κύδνῳ σου παρατάξεις καὶ τὰς ἐπὶ Σάρῳ τῶν βαρβάρων ἁλώσεις —, ἀλλὰ μεγάλῳ καὶ ἀνεῳγότι τῷ στόματι ἐτραγῳδοῦμεν καὶ διεξῄειμεν, ἃς ἐπαφῆκας τοῖς ἐκεῖσε Κελτοῖς συμφοράς. ἐντεῦθεν μετέβαινες ἀπὸ Κιλίκων πόλεων εἰς ἑτέρας Κίλικας πόλεις, ἀπὸ Κελτῶν βαρβάρων ἐπ' Ἀρμενίους βαρβάρους, Ταρσόθεν ἐπ' Ἀνάζαρβαν, ἀπὸ πεδιάδων ἱππηλάτων ἐπὶ πρῶνας ὀρῶν οὐδὲ ποδὶ πορευσίμους.

b Τίς τοσοῦτόν ἐστι μεγαλόφωνος, ὡς ἐξισοῦν δυνηθῆναι τῷ μεγέθει τῶν ἔργων τοὺς λόγους; βαβαί, οἷον ὁρῶ, βασιλεῦ, τοῖς σοῖς τὸ ἐν τοῖς λόγοις ἀτύχημα! τἆλλα γὰρ ὢν θεῖός τις καὶ ἀήττητος ἀθλητής, κήρυκος ἀμοιρεῖς. καὶ εἰ μὲν Ἀχιλεύς τις ἦν καὶ Ἀλέξανδρος Δύσπαρις καὶ ἁρ|παζόμενον 'ἐθε- 86 λάστειον' γύναιον ἢ νησιώτης τις Ὀδυσσεύς, Ὁμήρους ἂν ἡμῖν ἡ τύχη δεκαγλώσσους καὶ πολυστόμους ἀνέφυσε, καὶ Καλλιόπας Μούσας ὅλας προσανεπλάσατο τὰ μικρότατα ἐξογκούσας εἰς μέγεθος· νῦν δέ, μεγάλων ἔργων γεγενημένων καὶ οἷον ὁ παραρρεύσας σύμπας χρόνος οὔπω πρότερον ἤνεγκεν, ἀντὶ ῥητόρων καὶ ποιητῶν πεττευτάς τινας εὐφυεῖς καὶ 'ἰαμβειοφάγους' μεμηνότας ἀντιπαρήνεγκεν, 'ἀνδράρια' δύστηνα καὶ ἀτάσθαλα καὶ οἷα οὐκ ἄν τις οὐδὲ προσειπεῖν βούλοιτο. οἷς δὲ καὶ ὁ λόγος μικρὸν ἐπέλαμψεν, ἀλλὰ καὶ τούτους οὐκ ἀνῆκεν ἡ δαίμων ἐξαμαυροῦσα καὶ συσκιάζουσα συμφοραῖς.

151 Diogenian. VII 2 = CPG I 287, 6 153 s. cf. Ps. - Apollod. bibl. II 5, 2 necnon Niceph. Basil. in magn. Domest. 11 (de Ioanne imp. quoque) = 197 ss. Garzya (RSBN XVI [1969]) 155 ss. cf. RE VIII 2414 Steph. Byz., p. 605, 1 ss. 161 Ἀδάνης : Ciliciae urbs. Cf. Appian. XII 96 White; Cass. Dio. XLVII 31 Boiss. τὰς Μόψου πόλεις : urbs in Ciliciae plana sita, quae hodie Misis nuncupatur 163 Σάρῳ : flumen, quod Adana alluit 171 cf. Hom. Il. III 39 171 s. Heliod. VII 10 = p. 221, 40 Colonna 176 Demosth. 18, 139 (Theodorum ut videtur Prodromum tangit eiusque sectam) 177 Ar. Ach. 517

166 Ἀνάζαρβαν scripsi : ἀνάβαρζαν B 168 ἐξισοῦν scripsi : ἐξ ἰσοῦν B 171 Ἀχιλλεύς scribere noluit

7. Ἀλλ' ἐγὼ μέν, ὥσπερ πρὸς τὴν νῦν κατασχοῦσαν φορὰν χολούμενος, τοῦ λόγου παρεξενήνεγμαι. αὖθις οὖν εἰς τὰς ἐξ ἀρχῆς ἐπάνειμι διηγήσεις.

b Γένος μὲν ἰσχυρότατον Ἀρσακίδαι, παντὸς μᾶλλον καὶ εὐτολμότατον ἔκσπονδον ἔθνος, στρατὸς Ἀρήιος, Πέρσαις καὶ Ῥωμαίοις πολλάκις ἀντικατέστη, Πομπήιον ἐγγὺς εἰς τὸν ἔσχατον κατέστησε κίνδυνον, ἀλλ' οὐκ ᾐσχύνοντο μετὰ πάντων ἡττώμενοι τῷ σῷ δόρατι. ἀπεγνωκότες γὰρ πάντων καὶ τὰς ἐλπίδας ἤδη καταβαλόντες, εἰς πῦρ ἀπέβλεψαν καὶ τὰς σὰς μηχανὰς αὐτοσχεδίοις βάλλουσι κεραυνοῖς, ἀντὶ λίθων τοῖς πυρσοῖς ἀποχρώμενοι· ἀλλ' ἐλάνθανον ἄρα παντάρβῃ λίθῳ πυρὰν ἐπεισφέροντες. σβεννύεις γὰρ αὐτίκα τούτων τὰς ἐμπυρίους βολάς, οὐχ ὕδασιν ἀλλ' ἐπινοήμασιν, ἀντιτάξας 'τεῖχος πλίνθινον' ταῖς τούτων πυρεκβόλοις ἐξακοντίσεσιν, ἵνα σοι δουλεύσῃ καὶ βαρβαρικὸν πῦρ τὰς πλίνθους ἀναξηραῖνον, ἕως ἂν καθέλῃς πέτρας Γαβαωνίτιδας, καθάπερ καὶ ἄλλῳ τινὶ τῶν πρὸ σοῦ στρατηγῶν τὸ οὐράνιον πῦρ, |
ὁ ἥλιος κατὰ τοῦ παλαιοῦ Γαβαὼ στηριζόμενος. ὡς δ' ἦν ἄπρακτα λοιπὸν 86v
αὐτοῖς τὰ τῶν πυρσευμάτων, θυμοῦνται καθ' ἑαυτῶν καὶ χρῶνται κατὰ τῆς πόλεως τῷ συμμάχῳ πυρὶ καὶ ὀνειδίζουσιν αὐτῷ τὴν ἀσθένειαν «ὦ στοιχεῖον ἀπρακτότατον — λέγοντες — καὶ μόνῳ βασιλεῖ Ῥωμαίων ψυχρὸν φαινόμενον! ἐπειδὴ τούτῳ καὶ σὺ μετὰ πάντων νενίκησαι, φέρε γοῦν, ἐν αὐτοῖς ἡμῖν τὴν δύναμιν γνώρισον καὶ τῶν οἰκημάτων ἐπιλαμβάνου, ἵν' εἰδῇ βασιλεύς, ὡς καὶ τῷ ἡμετέρῳ πυρὶ συμμεμάχηται». εἰπόντες, ἐπαφῆκαν αὐτὸ τῇ πόλει, πᾶσαν δὲ ταύτην εὐθὺς χαλκός τε καὶ πῦρ πανταχόθεν κατήστραπτε.

c Σοῦ ταῦτα τὰ θαύματα, βασιλεῦ, περιτρέποντος τοῖς Χαλδαίοις κατὰ Χαλδαίων τὰς ἐκπυρώσεις· αὐτοὶ δὲ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν ἀκρόπολιν ταχὺ μεταβαίνουσιν, οἱ αὐτοὶ πολιορκηταὶ καὶ φυγάδες ὁμοῦ γιγνόμενοι, ἀλλ' ἐξάγεις κἀντεῦθεν αὐτοὺς καὶ δεύτερον ἁλίσκεις τοὺς μηδὲ μετὰ πυρὸς καθάπαξ κρατήσαντας. οἷα δὲ καὶ ἐπὶ τούτοις ἐβόων αὐτός, βασιλεῦ· «οὐ Πομπήιος τ α ῦ τ α, δοῦλοι Ῥουπενίου βάρβαροι, οὐδ' οἱ παρ' ἑκάτερα Κελτός τε καὶ Ἰσμαήλ, ἀλλὰ Κομνηνὸς αὐτοκράτωρ τῆς βασιλικῆς πορφύρας τὸ θαυμασιώτατον ἄγαλμα».

d Σὺ δὲ δὴ 'πῇ φεύγεις, μετὰ νῶτα βαλών', ἀποστάτα καὶ τύραννε καὶ ψευδώνυμε βασιλεῦ; ὡς εὖ γε ποιεῖς! ἐν γὰρ τοῖς ἄλλοις ἅπασι παρακούων τῶν τοῦ εὐαγγελίου ῥημάτων καὶ φρονῶν ἀσεβέστατα, ἐν τούτοις μόνον φρονεῖς εὐαγγελικώτατα διωκόμενος, ἐξ ἑτέρας πόλεως καὶ φεύγων εἰς τὴν ἑτέραν.

182 ss. *γένος* ~ *Ἀρσακίδαι* : de Anazarbi obsidione agitur, Ciliciae Armeniae capitis, quae mense Iulio a. 1137 debellata est. Cf. Nic. Chon. I 6 Cinn. I 7; Niceph. Basil. cit. 343, 27 Regel 189 s. Xen. an. III 4, 11 191 ss. Septuag. Ios. 10, 12 205 s. cf. Eur. Andr. 168 206 s. cf. Septuag. Ier. 41, 1 ss. 209 Hom. Il. VIII 94 212 cf. Septuag. 2 Macc. 5, 8

182 *Ἀρσακίδαι* scripsi : *ἀσαρκίδαι* B 199 ante *εἰπόντες* fort. *ταῦτα* inserend.

ἀλλ' οὐ δια|φεύξῃ τὸ τάχος τοῦ αὐτοκράτορος· εἰς ὀρῶν κορυφὰς ἀναβήσῃ; 87
τί φῄς; καταλήψεταί σε καὶ πτερυσσόμενον. πόλεις ἀπαιτεῖ τὰς ἡρπαγμένας ἐπὶ τοσοῦτον χρόνον ὑμᾶς πάλαι Ῥωμαίοις φόρους διδούσας. μὴ πάντῃ θαρρεῖτε ταῖς δυσχωρίαις· καὶ τὰ δύσβατα ἱππήλατα τούτῳ γίνεται. αὐτὸς μὲν οὖν ἓν τοῦτο μόνον κερδαίνεις, τὸ μὴ παραυτίκα ἑαλωκέναι, τὰ δέ σοι φίλτατα προαλίσκεται καὶ πρὸ τοῦ θηραθῆναι τεθήρασαι τοῖς σπλάγχνοις τοῖς σοῖς λαφυραγωγούμενος. οἴει σοί τι τὰ τῶν κηρύκων τοῦ Χριστοῦ τῶν σωμάτων πολύολβα λείψανα πολιορκουμένῳ συνεπαρήξειν; ἄπαγε τῆς ἐλπίδος ταύτης! ἡμῖν ἦσαν αἱ ψυχαὶ τούτων σύμμαχοι, οὐκοῦν ἡμέτερα γέγονε καὶ τὰ σώματα· αὐτὰ δὲ καὶ χάριν ὀφείλει τῷ αὐτοκράτορι μείζονα, ὅτι ἐξ ἀσεβῶν, καθάπερ ἡ κιβωτός, ἠλευθέρωται. εἶτα, μετὰ τοσούτων, ὑποκλίνεις καὶ σὺ τὸν αὐχένα καὶ μαλάττῃ τὸν σκληρότατον τράχηλον καὶ γνωρίζεις ὡς πῦρ, ὃν ὡς φῶς οὐκ ἐγνώρισας.

8. Ἡμεῖς δ' ὁ δῆμος ᾔδομεν ἐπὶ τούτοις ᾄσματα νικητήρια, τύμπανον μεταχειριζόμενοι τὴν ἑαυτῶν γλῶτταν ἕκαστος καὶ τὴν Μαρίαν Μωσέως μιμούμενος ἐμέλπομεν ἐμμελέστατα καὶ σοὶ καὶ Θεῷ, τῷ αὐτοκράτορι καὶ τῷ παντοκράτορι. οὐ γὰρ κατὰ θάλασσαν, ἀλλὰ κατὰ γῆν τὰ τερατουργήματα — ὢ τοῦ μεγάλου θαύματα — καὶ νῦν διὰ σοῦ σῴζεται Ἰσραήλ, ἀπόλλυται Φαραώ, πίπτει καὶ 'ἀναβάτης καὶ ἵππος' οὐκ 'εἰς θάλασσαν', ἀλλ' εἰς ὄρη καὶ ἐρημίαν καὶ βάραθρα. ἐξεπλάγη μὲν κατὰ τὴν Κοίλην Συρίαν τὰς ἐν κύκλῳ πορθήσεις τῶν πόλεων. ὅσα παρὰ τὰς ὄχθας Εὐφράτου καὶ Τίγρητος, ὅσα τοῖς Ἄραψιν ἔδρασας θαύματα!

b Τίς εὔστομος | Λυσίας ταῦτα; τίς ἠχήσει Δημοσθένους ἠχώ; τίς Ἡροδό- 87v
του γλυκύτης; ποία δὲ Ἰσοκράτους σειρήν; ὑπὲρ τὴν Ἀμφίονος κιθάραν, ὑπὲρ τὴν Πινδαρικὴν λύραν, ὑπὲρ τὴν Θουκυδίδου σεμνότητα. σεσίγηται μὲν τὰ Μακεδόνων, λῆρος οἱ ἐν Μαραθῶνι πεσόντες οἱ ἐν Πλαταιέσι παραταξάμενοι· τὰ τῶν Ἀχαιῶν διερρύηκε, μόνα βοᾶται τὰ σὰ καὶ διὰ πάντων προφέρεται. εἴπω τι καὶ τῶν ἐμῶν; πᾶσα μὲν γλῶσσα καὶ στόμα πᾶν ἐπί σοι κεκίνηται, βασιλεῦ, ἀλλ' ἐγὼ τῶν ἄλλων θερμότερος· καὶ σὺ μὲν κατέσυρας τὰς πόλεις Συρίας, ἐγὼ δὲ τὰς ἀκοὰς τῶν ἀκροατῶν ὑπὲρ τῶν εἰς ταύτας ἀγώνων καὶ ὥσπερ αὐτοὺς δημοσιεύων εἰς τοὺς ἐμοὺς ἀνῆγον ὀκρίβαντας καὶ τοῦ ῥεύματος τὸ σφοδρὸν ἐκεῖθεν αἰσθάνομαι ἢ ἐκ Μινουκιανοῦ τε καὶ Νικαγόρου.

c Τὰς μὲν οὖν πόλεις αὐτῶν ὀξέως ἐπόρθεις ὥσπερ τις σκηπτὸς ἐμπίπτων καὶ ἀνατρέπων ἅπαν τὸ ἀνθιστάμενον καὶ πληρῶν θαυμάτων Σύρους ὅλους

219 *πολύολβα λείψανα* : Christi discipulorum scil. 227 cf. Septuag. ex. 15, 20 ss. 231 s. Septuag. ex. 15, 21 (*ἵππον καὶ ἀναβάτην . . . εἰς θάλασσαν*) 233 s. *Εὐφράτου καὶ Τίγρητος* : cf. etiam Michel. Ital. in Manuel. imp. 15 = Ann. Fac. Lett. Maccrata III (1970) et Niceph. Basil. cit. 357, 6 Regel 237 s. cf. Herod. VI 117 238 s. Herod. IX 25 ss. 244 *Μινουκιανοῦ καὶ Νικαγόρου* cf. lex. Sud. III 398 s.v. *Μινουκιανός*

καὶ Κίλικας. ἔνθα γὰρ δὴ πάλαι Δαρεῖον Ἀλέξανδρος ἐτροπώσατο καὶ τῷ τόπῳ δέδωκε τοὔνομα, ἐνταῦθα σὺ τὴν Ἀσίαν ὅλην ἀπέωσας, ἀντιπεριστήσας τὰς πρώην τύχας. καὶ γὰρ τὰ Περσῶν ἐς τὰ Μακεδόνων μετέρρευσεν, εἶτ' αὖθις ἐκ τούτων εἰς Πέρσας ἀντιμετέρρευσεν ὥσπερ ἐν παλιρροίᾳ· νῦν δὲ σὺ τὴν εὐδοξίαν ἐκεῖθεν πάλιν ἀντιμεθείλκυσας, ἐκεῖσε τρόπαια στήσας, οὗ πρῶτον Πέρσαι δουλείας ἐγεύσαντο. σὺ πόλεις ἡμῖν παμφόρους καὶ πολυφόρους ἐπανεσώσω· ἄλλαι μὲν γὰρ ἄλλο τι φέρουσι, ταῖς δὲ καρπός ἐστι κάλαμος, οὐχ οἷος ὁ Ἰνδικὸς εἰς ὀργυιὰς μετρούμενος τὴν περίμετρον οὐδ' οἷος ὁ παρ' ἡμῖν ἐλαφ⟨ρό⟩τατος, | σίμβλον δὲ αὐτορρύτου μέλιτος καὶ κηρίον **88** *τρόπον τινά· καὶ οἷον σύριγγες αὐτοφυεῖς ὁ κάλαμος οὗτος ἀδιάτρητος γίνεται.*

d *Τίς μὲν οὖν Μωσῆς ἐκεῖνος, τίς δὲ Ἰησοῦς τοῦ Ναυῆ εἰς γῆν ἄγοντες τὸν λαὸν π η γ ὰ ς ἀ π ο β λ υ σ τ ά ν ο υ σ α ν τοῦ γάλακτος καὶ τοῦ μέλιτος; μέλι ἐκ πέτρας ἐκεῖ κἀνταῦθα γλυκύτατος χυμὸς ἐκ καλάμων παραδοξότατος λείβεται· καὶ 'μάννα' μὲν οὐρανόθεν ἐκεῖ, ἐνταῦθα δὲ γῆθεν ἀπὸ καλάμων ἀπραγμάτευτον ἀναδίδοται· ἄμφω γὰρ εἰς θαῦμα κινεῖ, τοὺς πρώτως θεασαμένους Ἑβραίους τε τὸ μάννα καὶ Ῥωμαίους οὗτος ὁ κάλαμος. νῦν γὰρ καὶ οὔπω πρότερον, οἶμαι, Ῥωμαῖοι κάλαμον ἐθεάσαντο πηγὰς ἔχοντα μέλιτος, καὶ τὸν αὐτὸν ἐν μὲν Ἕλλησιν εἰς Πανὸς ὄργανον μουσουργούμενον, ἐν δὲ Σύροις μελιττουργούμενον. καὶ σὺ μὲν τοιαῦτα ἡμῖν λαφυραγωγεῖς, τῇ γλυκύτητι τῆς ἐπαγγελίας τὴν γῆν αἰνιττόμενος.*

9. *Εἶτα δεικνὺς τοῖς βαρβάροις καὶ τὸν σκύμνον, ὁ λέων ὁ βλοσυρώτατος οἵους ἔχει τοὺς ὄνυχας, πέμπεις αὐτὸν ἐφ' ἑτέρας πόλεις καὶ οὐκ εἰς ἀναβολὰς εὐθὺ τὰ τῆς πολιορκίας ἐχώρησεν, ἀλλὰ ταχέως αὐτίκα μάλα σκυλεύει καὶ προνομεύει ὀξέως, τὰς ἀπορρήτους ὀμφὰς καὶ ἑαυτῷ τελουμένας ἐπιδεικνύμενος.*

b *Καὶ νῦν ὑπόθεσις λόγων ἡμῖν ἡ πόλις αἱ Γάστουναι καὶ ὁ πορθήσας ταύτας γενναιότατος βασιλεύς, τὸ ἀλέξημα τῆς τῶν Ῥωμαίων ἡγεμονίας, τὸ τῆς σῆς φύσεως 'ἀποβλάστημα' τὸ τῆς πορφύρας ἄνθος, τὸ τῆς σῆς παλαίστρας*

247 s. *ἔνθα ∼ Ἀλέξανδρος* : de Alexandrettae obsidione agitur, de qua cf. Niceph. Basil. cit. 346, 10 Regel 254 ss. cf. Dioscor. mat. med. V 92 = p. 64, 8 ss. Wellm. atque Herod. III 38 258 cf. Septuag. ex. 33, 11 259 Procop. aed. I 11, 11 Haury *αἱ πηγαὶ τὸ ὕδωρ ἀποβλυστάνουσαι* 260 cf. Septuag. ex. 33, 3 261 cf. Septuag. ex. 16, 14 ss. 268 Ps.-Hes. scut. 175 *ὑπὸ βλοσυροῖσι λέουσιν* Apost. VII 57 = CPG 409, 1 273 *Γάστουναι* : cf. Guil. Tyr. V 19 = Rec. hist. crois., Hist. Occ. I 689 (a. 1142) 275 Plat. conv. 208 B

255 *ἐλαφ**'τατος* B 266 *μελιττουργούμενον* B[sl] *μελιτουργούμενον* B[1] 271 *ἑαυτ(ῷ)* an *ἑαυτ(οῦ)* legend. incert.

4 - 8 - 1970

ἀκριβέστατον παίδευμα. τί πρὸς τοῦτο τὸ πάθος ἡ κατὰ Χαιρώνειαν Φιλίππου καὶ τοῦ παιδὸς Ἀλεξάνδρου τοῖν βασιλέοιν παράταξις, δι' ἣν ἡ μὲν Ἑλλὰς Μακεδόσιν ἐκτεταπείνωτο, τοῖς δὲ σοφισταῖς ἡ Χαιρώνεια πονηρὸν χωρίον ἐν μελέταις ἐμονῳδεῖτο; εἰ δ' ἦσαν σοφισταὶ καὶ παρὰ | βαρβάροις τραγῳδεῖν **88v** *εἰδότες τὰ πάθη, τί οὐκ ἂν εἶπον ἐνταῦθα ⟨τοῦ⟩ πάθους γενόμενοι; ἀλλ', ὦ βάρβαροι Πέρσαι καὶ Μῆδοι, εἰς τί ἔτι 'δυστραχηλεῖτε' καὶ ἀντερείδετε; παύσασθε ἀλαζονευόμενοι καὶ ἐπίγνωτε τοὺς ἰσχυροτέρους, 'γνῶτε ἔθνη καὶ ἡττᾶσθε' τὴν σιδηρᾶν καὶ βαρεῖαν ῥάβδον καὶ πόρρωθεν βλέποντες.*

10. *Ἀλλ' ἐπὶ τοὺς Ἀντιοχέας χωρῶμεν ἤδη καὶ τὰ κατ' αὐτοὺς θαύματα διηγώμεθα, τοῖς φιλοκάλοις συνεορτάζοντες. Ἀντιοχέας δ' ὅταν εἴπω τούτους, τοὺς Κελτοὺς λέγω Σύρους — λεγέσθωσαν γὰρ οὕτω διὰ τὴν ἀπὸ τοῦ χρόνου φυσίωσιν, ὥσπερ ἀμέλει καὶ ἄλλους Κελτοὺς Ἴβηρας ὀνομάζομεν. αὐτοὶ μὲν οὖν 'ἐγιγαντίων' τὰ πρῶτα καὶ 'ἐπ' ἄκρων ὀνύχων ἔβαινον', ὑπὲρ ἕνα πῆχυν τὴν ὀφρῦν αἴροντες καὶ ὅλως ἦσαν 'ὑπερνεφεῖς' τὴν ἀπόνοιαν. ἐπεὶ δὲ αὐτοῖς, τὸ μείλιχον ἀποκρύψας, τοὺς σκηπτοὺς ἔδειξας καὶ πυρισμαράγδους ἀφῆκας τὰς ἀστραπάς, ὥσπερ ὑπὸ πρηστήρων βληθέντες τῶν ἀπὸ τοῦ πολέμου δεινῶν, ἄλλος ἄλλων ὑπέτρεχεν ὀπὴν καὶ κατάδυσιν. καὶ πολλὰ χαίρειν ὅπλοις καὶ δόρασι φράσαντες, ἀντὶ δοράτων τε καὶ ξιφῶν τοῦ σταυροῦ τὸ σημεῖον αἴρουσι καὶ σχῆμα ἐλεεινὸν ὑποδύονται, ἐνταῦθα καὶ μόνον ταπεινὸν καὶ 'ὑπόσαθρόν' τι 'φθεγγόμενοι' οἱ ἐν τοῖς ἄλλοις ἅπασι τῇ κεφαλῇ τὸν οὐρανὸν ἐπαράσσοντες καὶ τὴν γῆν ἀπολεῖν ἀπειλοῦντες τῷ δόρατι. ἀλλ' οὐ Ῥῆνος ἐνθάδε, Κελτοί, οὐδὲ σεισμοὶ καὶ θαλάσσης ῥόθιον, καθ' ὧν ὀργιεῖσθε καὶ καθοπλισάμενοι κατὰ γῆς καὶ θαλάσσης τὰ δόρατα βάψετε, ἐμπληξίᾳ πάντα μιγνύντες καὶ ταράττοντες πράγματα. οὐδ' ὁ πρόσοικος Ἰσμαήλ, | ὅπου μὲν νικῶν ὅπου δὲ καὶ ἡττώμενος, ἀλλ' ἀήττητος βασιλεὺς καὶ στρατηγὸς* **89** *τὰ πάντα ἀνίκητος.*

b *Ὦ τὴν Κελτικὴν ἐλέγξας μελίαν, ὡς οὐδὲν πρὸς τὸ σὸν δεδύνηται δόρυ! ὦ πᾶσαν τὴν Ἀσίαν εἰς θαῦμα κινήσας, ὦ τοῖς ὅπλοις τῶν σωμάτων κρατῶν καὶ ταῖς ἡμερότησι τὰς ψυχὰς τυραννῶν, ὦ καὶ τοὺς προειληφότας φιλοπονίᾳ νικῆσαι φιλονικῶν καὶ τοῖς μετά σε μὴ καταλείψας ἀγώνων ὑπόθεσιν! τὴν γὰρ Ἀντιόχου πόλιν ὥσπερ δεδοικώς, μή τις ἐπὶ τοῖς ἐπ' αὐτῇ ἀγῶσι τῶν*

276 ss. cf. Plut. Alex. 9, 12 278 s. cf. Aeschin. 3, 187 281 Tzetz. hist. I 430 Leone 282 s. Septuag. Is. 8, 9 284 *ἐπὶ τοὺς Ἀντιοχέας* : de rebus a Ioanne contra Antiochiam gestis deque eiusdem urbis erga imperatorem obsequio agitur. Cf. Cinn. I 8; Nic. Chon. I 7 Niceph. Basil. cit. 358, 4 ss. Regel 288 Georg. Pisid. Heracl. 1, 30 Pert. Athen. VIII 379, 36 = p. 266, 1 Kaib. 289 Greg. Nyss. or. 43, 64 = PG XXXVI 581 A *ὑπερνεφεῖν* 290 s. *πυρισμαράγδους* : cf. Theocr. syr. 8 *(πυρισμαράγου)* 295 Polem. Physiogn. I 12 *(ὑπόσαθρον φθέγγεσθαι)*

280 *τοῦ* inserui 284 *ἀντιοχέας* B[1] *ἀντιοχείας* B[sl] ut vid. 290 *τὸ* scripsi : *τὸν* B 305 *φιλονικῶν* scripsi : *φιλονεικῶν* B

μετά σε στρατηγῶν ʻγέρας ἕξειʼ, αὐτὸς δὲ ἀπέλθοις ἀγέραστος, τὸ τοῦ Ἀχιλλέως ἐπὶ Ἕκτορι πέπονθας· προλαμβάνεις τοὺς ἄλλων ἴσως ἀγῶνας τῷ πόνῳ, μή τις κῦδος ἄροιτο λαβών, καὶ μέρος καὶ ταύτην ποιεῖς τοῦ κύκλου τῶν κατορθωμάτων τῶν σῶν.

c Τί οὖν; ὁ πολὺς ἐν ὅπλοις καὶ πλέον εἰς οἶκτον ἐπικάμπτῃ τὴν ψυχὴν καμπτομένοις τὸν τράχηλον, καὶ παρὰ τῆς σῆς δεξιᾶς προῖκα λαμβάνουσι τὴν ζωήν, οἷς τοῦ θανάτου τὸ ψήφισμα πρότερον ἔγραψας τῷ σῷ δόρατι. εἶτα τί; συλλαβαῖς ὀλίγαις περικλείεις τὸ κράτος αὐτῶν, ʻἕως ὧδε — λέγων — ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ, ἀλλʼ ἐν σοι συντριβήσονταί σου τὰ κύματαʼ, καὶ ὅπερ πρόσταγμα ἐν θαλάσσῃ παρὰ Θεοῦ, τοῦτο παρʼ ἐκείνοις γράμμα βασιλικόν.

d Ἐντεῦθεν οἱ τῶν Φοινίκων ἄρχοντές σοι καθυποτάττονται καὶ πόρρωθεν ἐμβάλλουσι δεξιάν· ἐντεῦθεν ὁ τῆς Ἐδέσης τοῦ σοῦ συντάγματος γέγονε καὶ δόρυ κραδαίνειν ὑπὲρ σοῦ βούλεται· ἐντεῦθεν ὁ τῆς Αἰλίας, μελίαν χαλκόστομον τῶν χειρῶν ἀπορρίψας, προσκυνεῖ σου τὸ ἄκρον τοῦ δόρατος καί, τὴν στεφάνην τῆς κεφαλῆς ἀποθέμενος, παραχωρεῖ σοι μόνῳ τῷ διαδήματι | καὶ τοῦ τῆς βασιλείας ὀνόματος ἀξιοῖ. τοὺς γὰρ ἄλλους ἀστέρας, ἡλίου μὴ 89v φαινομένου, ʻσελασφορεῖνʼ οὐδὲν ἀπεικός, αὐτοῦ δʼ ὑπερκύψαντος τὸν ὁρίζοντα καὶ τὸν κύκλον ἔμπλεω φωτὸς ὑποδείξαντος, πᾶς ἀπορριπτέτω τὸ δᾳδουχεῖν. εἰ δέ τις ἔστι κατʼ οὐρανὸν ἀστὴρ τολμηρότατος καὶ ἀνταστράπτειν ἐθέλει τῷ μεγάλῳ πυρί, αὐτὸς ʻὀφλισκάνει γέλωνʼ ἀμαυρότερον ἐν ἡμέρᾳ τὸ φῶς παρεχόμενος.

11. Πῶς οὐ θαυμάσομαί σου τὸ ἀκατάπληκτον, βασιλεῦ, τὸ πρὸς τοὺς πόνους ἀνένδοτον; τὴν μὲν γὰρ φύσιν ἄνθρωπος εἶ, αὐτὸς δὲ πρὸς τοὺς ἀγῶνας ἶσα καὶ ἀήττητος. τῶν γὰρ ἀλλοφύλων τὰς πόλεις χειρούμενος, πόλεις μυριάνδρους πόλεις πλουσίας πόλεις εὐδαίμονας, τὰς μὲν σκυλεύσας ἀφῆκας μετὰ τῆς προσηγορίας τοὔδαφος μόνον, τὰς δʼ, ὡς εἶχον πλούτου τε καὶ χρημάτων, δῶρον δέδωκας τῶν Κελτῶν τοῖς ἐκ πολεμίων δουλεύσασιν, ὥσπερ ἀντανισῶν ἐκείνοις τὰς ἀφῃρημένας πόλεις ταῖς ἑτέρωθεν ἀντεισαγομέναις, ὁ αὐτὸς καὶ ἀφαιρούμενος καὶ δωρούμενος. ἐκεῖνο μὲν τὸ δίκαιον, τοῦτο δὲ καὶ τὸ φιλόδωρον· τὸ μὲν γὰρ βίᾳ λαμβάνειν, ἃ προηρπάκασι, τῆς ἐκδίκου ῥομφαίας

---

307 cf. Septuag. Ier. 41, 6 ss. Theod. Cyr. quaest. in 2 Par. I 592 Schultze (ἔχουσι τὸ γέρας) 314 s. Septuag. Iob 38, 11 (ἐν σεαυτῇ συντριβήσεταί σου...) 319 ss. ὁ τῆς Ἐδέσης ...Αἰλίας : de Latinorum principum Edessae et Ierusalem fide obsequioque erga imperatorem agitur, de quibus rebus Italicus unus auctor nobis exstat. Cf. Cinn. I 8 Nic. Chon. I 7; praeterea Guil. Tyr. XI 1 = Rec. hist. crois., Hist. Occ. I 450 s. 324 Mich. Sync. laud. Dion. Ar. p. 359 Boiss. 327 Eur. Med. 404 γέλωτα... ὀφλεῖν

---

314 περικλείεις B[1] περικλιείεις B[sl] ὧδε scripsi : ὧδε B 326 ἔστι scripsi : ἐστὶ B

ἐστίν, ἣν στιλβοῖς ἀεὶ πρὸς τοὺς περικόπτειν καὶ λωποδυτεῖν τὴν Ῥωμαίων ἐθέλοντας, τὸ δὲ φιλοτιμεῖσθαι περὶ τὰς δόσεις τῆς βασιλικῆς δεξιᾶς. ἁπανταχοῦ γὰρ κύριον τῆς παρʼ αὐτοῖς κτήσεως ἑαυτὸν καθιστῶν, τοῖς δεδωρημένοις ἀρκεῖσθαι βούλει παρὰ τῆς χειρὸς τῆς βασιλικῆς, ἀλλὰ μὴ ἐκείνους, ἐρημίᾳ τῶν ἀπειρξόντων χειρί, χεῖρας ἐμβάλλειν καὶ σαγηνείας τρόπον τὰς πόλεις ἔχειν εἰς ὁπόσας αὐτῶν τὸ ἄπληστον ἔφθασεν.

b Ἀλλὰ τίς ἐξαριθμήσειε τὰς ἁλούσας πόλεις, ἄριστε αὐτο|κράτορ, ἢ τίς, 90 ἀριθμεῖν ἀρξάμενος, οὐκ εὐθὺς ἐφέξει καὶ τὸν πρῶτον αὐτὸν ἀριθμόν, ὥσπερ οἱ τοῦ Ἰκαρίου πόντου τῶν κυμάτων ἀποπειρώμενοι; ἔχεις τοιοῦτον εἰπεῖν, σοφώτατε Ὅμηρε, βασιλέα πτολίπορθον ἐν τοῖς σοῖς ἥρωσι; δ ώ δ ε κ α μὲν σ ὺ ν ν η υ σ ὶ κορωνίσι π ό λ ε ι ς ἀ λ ά π α ξ ε ν ὁ σὸς Ἀχιλ⟨λ⟩εύς, π ε ζ ὸ ς δὲ παρὰ μίαν τοσαύτας, τὰ ʻπο⟨λ⟩λοστημόριαʼ τῶν ἡμετέρων διηγημάτων· καὶ τοῦ πλήθους τὸ τάχος θαυμασιώτερον· αἱ πλείους γὰρ αὐτῶν οὐδʼ ἡμερῶν ἑβδομάδος ἔργον ἐγένοντο. τίς τῶν λαφύρων τὸ πλῆθος, τίς τὰς τῶν καμήλων ἀγέλας, τὴν δὲ ʻπολλάκις μυρίανʼ ἵππων τὴν δὲ τῶν ἀνδρῶν αἰχμαλωσίαν, τὰ δʼ ἄλλα ξύμπαντα, ὧν ἕκαστον ἐκπλήττει τὴν πᾶσαν ἀνθρώπου ψυχήν;

12. Ἐγὼ δέ σοι, βασιλεῦ, καινοτομῶν ὥσπερ ἐνταῦ⟨θα⟩ τὸν εὐφημητήριον καὶ παραδοξότερόν τι ποιῶν ἢ κατὰ τοὺς πολλοὺς τῶν ῥητόρων, ʻστρατηγικῇʼ συγχρώμενος ʻἐπιστήμῃʼ, τὰς λαμπροτέρας πρυτανεύσω σοι νίκας, οὐκ ἀφʼ ὧν περιγέγονας μᾶλλον ἢ ἐν οἷς οὐχ ὑπερέσχε τὸ δόρυ τὸ σόν, ὅτι ἐν μὲν ἐκείνοις τάχα ἂν εἴποι τις, ὅτι καὶ τὰ τῆς τύχης πολλάκις συνέπραξεν, ἐν δὲ τούτοις τὸ πᾶν ἡ σύνεσις ἔδρασε. τί γὰρ δεῖ πετόμενόν τινα διώκειν ὥσπερ τὸ ἐν κοριστικῇ Βερροιαῖον βάρβαρον, ἢ Χαλεπίτην εἰπεῖν σαφέστερον; ὁ γὰρ διώκων πετόμενά — φασι — μαίνεται.

b Οὐκοῦν μεταστρέψας τοὺς χαλινοὺς ἐκεῖθεν, ἀπὸ τοῦ Χάλεπ — πολλάκις γὰρ ἐπιφέρω καὶ τοὔνομα, ὅτι πολλῶν ἡμερῶν ἐνταῦθα Ῥωμαίων σκῆπτρον οὐκ ἐθεάσατο ἥλιος — τῷ Σέζερ ἐπαφῆκας τὸ στράτευμα, ἥν τινα πόλιν ἑλλη-

---

345 s. ad. Argonautas adluditur 347 Hom. Il. XV 77 347 - 349 Hom. Il. IX 328 s. 349 Arist. top. IV 125a, 9 350 s. cf. Septuag. ex. 34, 21 352 Plat. Theaet. 175a (μυρίοι) 356 s. Arist. eth. Nic. I 1096a, 32 361 Βερροιαῖον ... Χαλεπίτην : de Aleppo agitur, ex qua obsessa Ioannes recedere coactus est, locorum causa valde munitorum. Cf. Mich. Ital. in Manuel. imp. cit. 15. Niceph. Basil. cit. 350, 21 Regel Cinn. I 8 361 s. cf. Plat. Euthyphr. 4 A 365 ss. Σέζερ ~ Λάρισσαν : urbem scil., cuius cives dona pretiosa Ioanni praebuerunt, ut ipse ab obsidione discederet : quibus donis acceptis, ille obsidionem omisit. Cf. Cinn. I 8 Nic. Chon. I 8 Niceph. Basil. cit. 351, 9 Regel Mich. Ital. in Manuel. imp. cit. 15. Guil. Tyr. XV 1 - 2 = Rec. hist. crois,. Hist. Occ. I 655 ss.

---

348 πόλεις B : an πόλιν scribere debuerit (cf. μίαν inseq. l.)? 349 inserui 352 ἵππων scripsi : ἵππον B 355 inserui 360 κοριστικῇ (sc. γλώττῃ) dixit ut ὑποκοριστικῇ, quod fort. repon.

νίζοντες εἴποιμεν Λάρισσαν — ἔστι γὰρ τῆς Κασιώτιδος χώρας τὸ κράτι-
στον —, θυμούμενος δὲ ὥσπερ κατ' ἐκείνης | τῆς πόλεως, ὅτι ἄρα 'μὴ εὐφυῶς 90ᵛ
ἔσχε πρὸς' πολιορκίαν καὶ πόλεμον, πάντων ἀνῃρημένων ἐκεῖθεν καὶ ὕδατος
καὶ πυρὸς καὶ ὅθεν ἂν στρατιώτης καὶ ἵππος τραφήσεται, ἃ πάντα τὴν πολιορ-
κίαν ἐ⟨πέσχε⟩.
c Πολλὰς πόλεις Ἀράβων ἐλεηλάτησας ἀντὶ μιᾶς ἐκείνης, ὅλας ἑκατὸν
πόλεις παραστησάμενος, ὧν τὸ ἐξαίρετον τὸ Κασιωτικὸν καθίστατο φρούριον.
πάλιν οὖν οἱ κεραυνοὶ καὶ πάλιν αἱ τῶν 'λίθων βολαὶ' καὶ ὁ τῆς πόλεως 'ἀρχι-
σατράπης' ἐλέῳ τὴν συμφορὰν παραιτούμενος· καί γε τῶν ἐλπίδων οὐκ ἄστο-
χος ἦν ὁ βάρβαρος, ἀλλ' ὅλοις ποταμοῖς φιλανθρωπίας περιεκλύζετο. ὃν γὰρ
ὡς κεραυνοφόρον, ὡς καταιβάτην, ὡς πρηστήριον δύναμιν ἔγνωσαν ἀντικαθι-
στάμενοι, ὡς Σωτῆρα καὶ Φίλ⟨ι⟩ον καὶ Ἱκέσιον ἱκετεύοντες ἐπεγίνωσκον, καὶ
τὰς προσηγορίας τῶν Ἑλληνίων θεῶν ἐπί σου πρεπωδεστέρας ἐμάνθανον
(μετέβαλον γὰρ αὐτὰς οἱ καιροὶ καὶ ἡ τῶν πραγμάτων περίστασις).
d Παραστησάμενος οὖν τὸν βάρβαρον, αὖθις ἀφίης ἐλεύθερον καὶ τὸν Ἀ-
λέξανδρον ἐνταῦθα μιμῇ· χαρίζῃ τὴν πόλιν μετὰ τὴν νίκην τοῖς νικηθεῖσι καί,
σὸν ⟨τὸ⟩ ἐκνίκημα ποιησάμενος, οὐκ ἀποδίδως, ἀλλὰ δίδως αὐτὴν τοῖς βαρ-
βάροις, ἅπερ ἐκεῖνος εἰς Πῶρον δέδρακε· τῆς γὰρ βασιλείας αὐτὸν ἀφελόμενος,
πάλιν βασιλέα χειροτονεῖ. ζῆλος οὗτος ὁ σὸς Ἀλεξάνδρειος· οὐ γὰρ
φθονεῖς ἑτέροις ἀρχῆς, ἀλλ' ὥσπερ τις ὢν ὑπερανεστηκὼς τοῦ παντὸς πρό-
βολος, εἰς ἑαυτὸν ἐξάπτεις τῶν ἁπανταχόθεν ἀρχῶν τὰ πείσματα. καὶ μή μοι
μέμφου, βασιλεῦ, τῆς συγκρίσεως· τἆλλα μὲν γὰρ αὐτὸς πολλοὺς Ἀλεξάνδρους
ὑπερεφώνησας, ἐν τούτοις δὲ μόνον πρὸς τὴν μέσην ὑπάτην χορδῇ τὸ σύμφω-
νον ἐμμελῶς ἀποδέδωκας.
13. Τοὺς δέ γε θησαυροὺς ἐκείνους | καὶ τοὺς ἀργύρου τε καὶ χρυσοῦ θη- 91
μῶνας καὶ τῶν μαργαρίδων τὸ μέγεθος καὶ πλῆθος καὶ κάλλος καὶ τῶν λίθων
τὸ διαυγὲς καὶ πολύχρουν — τί γὰρ δεῖ με λέγειν τοὺς Ἄραβας ἵππους, καλλίτρι-
χας ὅλους καὶ ὑπὲρ τοὺς Εὐμήλου τυγχάνοντας καὶ ἶσα καὶ ἀέλλαις ἀνιπταμένους;
b 'Τὸ τοῦ σταυροῦ τρόπαιον' κατὰ πᾶσαν ὑπεροχὴν ὑπερέβαλεν· αὐτὸ γὰρ
τοῦτο Θεὸς ἵστησί σου περιφανέστατον τρόπαιον ἐν μέσοις βαρβάροις τοῦ βαρ-
βάρου τὸ ἄποινον. ἐκ γὰρ λυχνίτου λίθου σταυρὸς ἐλελάξευτο καὶ ταῖς

367 s. Arist. pol. V 1303b, 8 *(ἔχῃ)* 373 Herodian. II 6, 13 = p. 52, 25 Staven. *(βολή)* 373 s. cf. Nic. Chon = MB I 111 Sath. 383 s. cf. Plut. Alex. 60 Arrian. V 19, 3 = p. 265, 13 ss. R. 384 s. cf. Septuag. 1 Macc. 8, 16 388 s. cf. Aristid. Quint. I 6 = p. 7, 15 ss. Winn. - Ingr. 393 cf. Hom. Il. II 763 ss. 394 Euseb. demonstr. ev. III 4 = p. 114, 27 Heikel *(τοῦ σταυροῦ τὸ τρόπαιον)* 396 Cinn. I 8 Niceph. Basil. cit. 353, 12 Regel

370 inserui (rasura sex fere literarum in B) 377 *Φίλ⟨ι⟩ον* scripsi inseq. linea conl. 382 inserui 393 *Εὐμήλου* scripsi : *εὐμήλους* B 394 *αὐτὸς* fort. scribend.

ἐμφύτοις ἀκτῖσι περιεφλέγετο· καὶ τὸ παραδοξότατον, ὅτι καὶ ὁ σταυρῷ νική-
σας ἀστροειδεῖ βασιλεὺς τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ τῷ σταυρῷ
ἐνεγέγραπτο. ἵνα σύ, καθάπερ Κωνσταντῖνος ἐκεῖνος, ἔχῃς θαρρεῖν, ὡς νικη-
τικά σοι τὰ σύμβολα δέδοται. ἔχω δέ τι καὶ πλέον ἐνταῦθα τῶν κατὰ τὸν μέγαν
Κωνσταντῖνον εἰπεῖν. οὐρανόθεν μὲν ἐκείνῳ ἔστη τὸ τρόπαιον τοῦ σταυροῦ,
ὅθεν οὐδέποτε σταυρὸς κατενήνεκτο· σοὶ δὲ γῆθεν ἐξήστραψεν, ὅθεν ὁ σταυρὸς
ἐν οὐρανῷ τῷ αὐτοκράτορι κατηγλάισται. ὁ δὲ δὴ 'λύγδινος λίθος' Δάτιδος,
ὃν Πέρσαι μὲν ἐπὶ τροπαίῳ τῷ κατὰ τῆς Ἑλλάδος ἐκόμιζον, οἱ δὲ Μαραθῶνι
μεμαχημένοι, λάφυρον ἐκ τῆς Φοινίσσης ὁλκάδος λαβόντες, νέμεσιν ἔγραψαν
'ἀπρεπὲς τῷ τροπαίῳ τούτῳ συνεξετάζειν'.
14. Συνηδόμεθά σοι, βασιλεῦ, καὶ συνεχαίρομεν καὶ ἐπὶ τῇ τῆς δραγμῆς
εὑρέσει· δραγμὴν δὲ λέγων τὴν βασιλικὴν εἰκόνα σημαίνω, τὸν σὸν τριπόθητον
ἀδελφόν, ὃν εὑρὼν ἠγκαλίσω καὶ ἀγκαλισάμενος λίαν φιλαδελφότατα τὴν μέσην
τῆς ψυχῆς χώραν δέδωκας. καὶ τὸ ἐπὶ τοῖς συνοῦσι καὶ σύμπνοις ἀδελφοῖς
μέλος Δαυϊτικὸν μουσουρ|γούμενον ἔψαλλες μὲν αὐτός, συνεψάλλομεν δὲ καὶ 91ᵛ
ἡμεῖς, ὥσπερ ἐξ ἀμοιβῆς τὸν ψαλμὸν ἀντεπᾴδοντες.
15. Ἀντηχήσαμεν καὶ πρὸς τὰς τῶν Ἀντιοχέων φωνάς, κράτιστε βασι-
λεῦ, ὁπόταν αὐτὸς ἐν μέσῃ γῇ τῆς Κοίλης Συρίας ἐπὶ πολλοῖς τροπαίοις κατή-
νεγκας θρίαμβον. καί πως συνωρχούμεθα τούτοις καὶ συνεγαννύμεθα τῆς προό-
δου, τοὺς λόγους ὑφαίνοντες καὶ ταῖς ἐνδιασκεύοις τῶν διηγήσεων χρώμενοι,
πλὴν οὐχ ὡς νῦν ἐπιτροχάδην ἔγωγε γράφω καὶ λέγω διὰ τὸν κόρον τοῦ λόγου,
ἀλλὰ πάντα λόγῳ μακρῷ καταλέγοντες.
b Ὡς ἄρα ἡ πόλις ὅλη, ἅπαντα ἦσαν μεστὰ καὶ ἀνδρῶν καὶ φωνῶν καὶ πέ-
πλων χρυσοϋφῶν καὶ παντοδαπῆς ἄλλης ὕλης τιμιωτέρας, ὅπου μὲν
ἐξηρτημένων ὅπου δὲ καὶ ὑπεστρωμένων, ἔστι δ' οὗ καὶ προσαπτομένων, καὶ ἦν
ἄλλο μετὰ τὴν βασιλίδα πόλιν ἡ πόλις βασιλικὸν ἐνδιαίτημα. αὐτὸς δέ, καθάπερ
τις ἀστεροπαῖος ἐφ' ἵππου καλλίστου φερόμενος, ὑπὸ μυριάνδρου πλήθους δορυ-
φορούμενος εὐφημούμενος προπεμπόμενος, πᾶσιν ἠφίεις ἀκηράτους μαρμαρυ-
γάς· ξύμμικτοι δὲ πανταχόθεν βοαὶ τὸν 'ἀέρα' κατεῖχον 'περιηχοῦσαι' καὶ ἦν
τὸ ἐξηχούμενον ὁ 'τροπαιοῦχος' ὁ 'νικητὴς' ὁ ἀήττητος αὐτοκράτωρ. δοκῶ

400 s. cf. Euseb. vit. Const. pp. 43 ss. Heinich. 403 Philostr. im. I 1, 15 762 = II 294, 14 Kayser 404 s. cf. Herod. VI 118 406 Alciphr. III 54 = p. 190, 18, 2 Benn. - Fob. 407 cf. Luc. 15, 8 ss. 408 s. *τριπόθητον ἀδελφόν* : de Isaaco Comneno agitur, Ioannis fratre, deque imperatoris erga eum venia. Cf. Niceph. Basil. cit. 348, 10 ss. (eundemque in Adrian. Comn. p. 53, 708 ss. Garzya) necnon Nic. Chon. I 9 410 s. Septuag. ps. 132 419 s. Herodian. V 3, 6 = p. 141, 12 Staven. *(χιτῶνας χρυσοϋφεῖς)* 425 Anaxim. B 2 = I 95, 18 s. Diels - Kranz 426 Act. Io. 3 = Lips. - Bonn II 152, 23 *(αὐτοκράτορι καίσαρι σεβαστῷ νικητῇ τροπαιούχῳ)*

405 *Φοινίσσης* scripsi : *φοινίσσας* B

*μοι, τότε καὶ παῖδες εὐφήμησαν, εἰ μή γε 'τὸ ὡσαννὰ' ἐξ ἡμισείας σοι τὸν
ἐπὶ τῷ Σωτῆρι ὕμνον ἐκρότησαν. τὸ μέντοι Κελτικὸν ὅσον ἔκκριτον, ἄνδρες
ἀεὶ μεμνημένοι ἀλκῆς καὶ πολέμων, ἐνταῦθα λήξαντες Ἄρεος, 'αὐτοποδητὶ
βαδίζοντες' πάντες, πανδημεὶ ξυνετέλουν τὸν θρίαμβον, οἱ μὲν καὶ παρεπόμε-
νοι καὶ μετὰ τῶν ἑπομένων γιγνόμενοι, | ἦσαν δ' οἳ καὶ ταῖς ὁπλαῖς τοῦ ἵπ-* **92**
που ῥίψαντες ἑαυτοὺς ἀντ' ἐδάφους ἐξέκειντο.

c *Ὦ τὰ φρονήματα Ῥωμαίων ἐγείρας, ὦ κατασείσας ψυχὰς τῶν βαρ-
βάρων, ὦ ἀνάψας Ῥωμαίοις πάλαι σβεσθεῖσαν τὴν εὔκλειαν, ὦ αὐτουργὲ με-
γάλων ἀγώνων! ἐθριάμβευσεν ἐπ' Ἀρμενίων νίκαις ποτὲ καὶ Πομπήιος, ἀλλὰ
Λεύκουλλος ἐνίκα καὶ Πομπήιος ἐν ἑτέρων ἀγῶσιν ἐπόμπευε· σὺ δὲ αὐτὸς
νικητής, αὐτὸς τροπαιοῦχος, αὐτὸς ἐπὶ τροπαίοις μεγάλοις ὑπὸ πολλῶν ἡγε-
μόνων δορυφορῇ.*

d *Εἶδες, Ἀντιόχου πόλι, πάλαι πορθοῦσα, εἰσελαύνοντα σεβαστὸν αὐτοκρά-
τορα, ἃ πολλῶν ἐτῶν οὐ τεθέασαι. καί σοι τῆς δόξης 'ἡ βασιλὶς τῶν πόλεων'
οὐ φθονεῖ, μήτηρ δὲ οὖσα τῶν αὐτοκράτορος οἰκειοῦται τὴν εὐδοξίαν καί, γαν-
νυμένη ταῖς νίκαις, βασιλεύει τοῖς ἔργοις καὶ τοῖς ὀνόμασιν· οἷς γὰρ περιγέ-
γονε, τοῦ βασιλέως τῷ δόρατι τὴν δεσποτείαν ἐπάγεται.*

16. *Ὦ φυγάδα τὴν βασιλείαν Ῥωμαίων τῆς Ἀσίας καταγαγών, τοὺς
βαρβάρους ἐκεῖθεν ξενηλατήσας! ὦ τὴν ἅπασαν οἰκουμένην οὐ στήλαις καὶ πο-
ταμοῖς ἀλλὰ τροπαίοις καταμερίσας! ἀλλ' οἷον ἡμῖν τὸν ἐπῳδόν, ἐφ' οἷς προ-
ῄσαμεν, αὐτοκράτορ, ἐνδέδωκας ὥσπερ ἐν στροφῇ τε καὶ ἀντιστρόφῳ! αὐτὸς
μὲν γὰρ ἐληίζου Ἄραβας καὶ Κελτοὺς καὶ Ἀρμενίους καὶ Κίλικας. οἱ δέ γε
πονηροὶ γείτονες, οὗτος ὁ Ἰσμαήλ, ἀεὶ δὲ τοῦτο τὰ γένος ἔκθεσμον καὶ παρά-
Τμῆμα τοῦ πρώτου ἔργου σῴζεται εἰς τὸν ἐν τῇ μονῇ Ἰβήρων κώδικα 388, ff. 843^{r} - 844^{r} [6], ὃν δὲν κατέστη ἐφικτὸν νὰ ἀναγνώσωμεν. Ἐπίσης ἄνευ ἀποτελέσματος ἔμεινεν ἡ προσπάθεια χρησιμοποιήσεως τῶν Κωδίκων 339 τῆς μονῆς Παντελεήμονος [7] καὶ 988 τῆς Ρουμανικῆς Ἀκαδημίας [8], ἐν οἷς σῴζεται τὸ δεύτερον ἔργον.

Μετὰ πλείστων δὲ ἑτέρων ἔργων τοῦ αὐτοῦ συγγραφέως εὑρίσκοντο καὶ οἱ τρεῖς λόγοι ἐν τῷ ἀπολεσθέντι κώδικι 196 τῆς Μονῆς Κοσινίτζης [9], ὅστις καὶ ἐθεωρεῖτο τέως ὡς αὐτόγραφος [10].

Καὶ ἐξ ἄλλων στοιχείων ἀλλὰ κυρίως ἐκ δύο διαφορῶν, αἱ ὁποῖαι

1. Πρβλ. Χ. Γ. Πατρινέλη, Θεόδωρος Ἀγαλλιανὸς ταυτιζόμενος πρὸς Θεοφάνην Μηδείας..., Ἀθῆναι 1966, σ. 20, σημ. 82α.

2. «*Ὑπὸ παιδευτῇ τε καὶ διδασκάλῳ τῷ μακαριωτάτῳ ἀρχιερεῖ τῆς Ἐφεσίων μητροπόλεως Μάρκῳ*», ἔνθ' ἀνωτ., σ. 93, στ. 83 - 84.

3. V. Beneševič, Catalogus codicum manuscriptorum Graecorum, qui in monasterio Sanctae Catharinae in monte Sina asservantur, t. III.$_{1}$, Petersburg 1917, σσ. 191 - 197.

4. Sophronios Eustratiades, Catalogue of the Greek manuscripts in the Library of the monastery of Vatopedi on Vatopedi on Mt. Athos, Cambridge 1924, σσ. 96 - 97.

5. Vladimir, Sistematičeskoe opisanie rucopisej Moskouskoj Sinodal'noj (Patriaršej) Bibliotheki, I, Rucopisi Grečeskija, Moscou 1894, σσ. 326 - 329.

6. Σπ. Λάμπρου, Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγ. Ὄρους Ἑλληνικῶν Κωδίκων, τ. II, Cambridge 1900, σσ. 122 - 139.

7. Ἔνθ' ἀνωτ., σ. 364.

8. N. Camariano, Biblioteca Academiei Române. Catalogue manuscriselor greceşti, t. II, Bucarest 1940, σ. 137.

9. Ἀρχαιολογικὸν Παράρτημα ΙΖ' τόμου τῶν Ἑλληνικῶν Φιλολογικοῦ Συλλόγου ΚΠόλεως, 1886, σσ. 47 - 48.

10. Πρβλ. Ν. Β. Τωμαδάκη, Ἀμιρούτζεια, Ἀθηνᾶ ΝΖ', 1953, σσ. 60 - 68, ἐν σ. 67, καὶ Κ. Γ. Μαμώνη, ἔνθ' ἀνωτ., σ. 45.

ὑπάρχουν ἐν τοῖς κώδιξι δυνάμεθα μετὰ πιθανότητος νὰ εἴπωμεν ὅτι ἀκολουθοῦν οὗτοι δύο παραδόσεις.

1. Ἐν τῷ f. 88v τοῦ P παραδίδεται : *«τὴν θαυματουργικὴν δύναμιν εἶχον* (sc. οἱ ἀπόστολοι) *εἰς δὲ τὸ κολάζειν... ἅπαξ μόνον ἐπὶ ἀψύχῳ καὶ τούτῳ δένδρῳ τὴν κολαστικὴν ἐπεδείξατο δύναμιν»*. Μετὰ δὲ τὸ *κολάζειν* ὑπάρχει κενὸν ἀντιστοιχοῦν εἰς τρεῖς λέξεις. Οἱ κώδικες VSA ἐν τῷ αὐτῷ τόπῳ παρέχουν *«ἢ εἰκαῖον τι ποιεῖν διασεσωκώς»*. Ὁ M ἔχει *«ἢ εἰκαῖον τι ποιεῖν οὐχ οὕτω ῥαδίαν ἐπεὶ καὶ αὐτὸς ὁ δεσπότης ἀναριθμήτους ἀνθρώπους διασεσωκώς»*.

2. Ἐν τῷ f. 89v ὁ P δίδει *«μεσούσης ἡμέρας γενήσεται νὺξ καὶ οὐχὶ νὺξ κατὰ τὸ προφητικὸν λόγιον»*. Μετὰ τῆς γραφῆς ταύτης συμφωνοῦν οἱ VSA. Ὁ M διαφέρει παραδίδων *«μεσούσης ἡμέρας γενήσεται νὺξ καὶ οὐχ ἡμέρα καὶ νὺξ καὶ οὐχὶ νὺξ κατὰ τὸ προφητικὸν λόγιον»*.

Προφανὴς καθίσταται ἡ κοινὴ παράδοσις τῶν PVSA καὶ ἡ διάφορος τοῦ M. Ὁ Ἀγαλλιανὸς ἀντιγράφων προκειμένου νὰ καταστρώσῃ τὸν P συνήντησε ἴσως δυσκολίας, ἀφῆκε δὲ τὸ κενόν, ἵνα συμπληρώσῃ τοῦτο ἀργότερον, πλὴν ἕνεκα διαφόρων λόγων δὲν ἔφερε τοῦτο εἰς πέρας.

1

Τοῦ αὐτοῦ, λύσεις ἀποριῶν τῆς θείας γραφῆς

Par. gr. 1292

f. 82r *Εἰ αἱ Σοδόμων πόλεις Τύριοί τε καὶ Σιδώνιοι δυνάμεις ἰδόντες μετενόησαν ἄν, ἠδίκηνται ἄρα μὴ ἰδόντες· καὶ διατί μὴ καὶ πρὸς ἐκείνους ἡ ἐπιδημία τοῦ σωτῆρος γεγένηται τοὺς μᾶλλον ἂν σωθέντας, εἴ γε τοιούτων ἀπήλαυσαν ;*

Λύσις :

Ὅτι μὲν κατὰ σάρκα τὴν τοῦ Θεοῦ παρουσίαν πιστευομένην ἐν χρόνῳ γε ὡρισμένῳ καὶ τόπῳ γενέσθαι ἐχρῆν φανερόν· οὔτε γὰρ τοῖς ἐκ τοῦ αἰῶνος
f. 82v *ἑκασταχοῦ | διορθώσεως δεομένοις παραγίνεσθαι θεὸν σαρκὶ τὸ εἰκὸς εἶχεν· «ἔδει» γὰρ ἂν οὕτω «πολλάκις αὐτὸν ἀπὸ καταβολῆς κόσμου παθεῖν», ὡς ὁ θεῖος εἶπεν ἀπόστολος· οὔτε μὴν παραγεγονότα πᾶσιν ὁμοῦ καὶ κατὰ ταὐτὸν ἐμφανῆ χρηματίζειν, ἀλλ' ἐν χρόνῳ μὲν ᾧ αὐτὸς ἐγίνωσκε μάλιστα διαφέρειν. Ὅτε δηλαδὴ καὶ τῆς κακίας ἐπὶ πάντας χεθείσης κοινῆς ἐδεῖτο τὰ πράγματα μεταβολῆς τε καὶ θεραπείας, ἔθνει δὲ τῷ θεοφιλεῖ μάλιστα καὶ ᾧ ἐξ ἀρχῆς ἐπήγγελται δωρεᾶς τινος λόγῳ, ἵν' ὥσπερ ὁ ἥλιος μέσην οὐρανοῦ τέμνων ὁδόν, ὡς ποιητὴς ἤδη τις εἶπεν, ἐκεῖθεν τὴν δύναμιν διὰ πάντων ἐκπέμπει τόν τε οὐρα-*

2 - 3 cf. Matth. 11,21-24, Luc. 10,13. 7 cf. Joh. 1,14, Rom. 8,3. 8 cf. Gen. 49,10, Mich. 5,1, Hebr. 9,10. 10 Hebr. 9,26. 11 - 12 cf. Act. 1,7, Gal. 4,4. 13 cf. Rom. 1,29. 14 cf. Gen. 3,15. 16 cf. Eurip. Phoenissae 1 - 3.

PVSA 1 *τοῦ αὐτοῦ* om. VSA *ἀπορία* in marg. S 6 *λύσις* in marg. VA 10 *γὰρ* om. S 11 *ἐμφανῆ* : *ἐμφανίζειν* S 12 *χρηματίζειν* om. S

7. *ἐν χρόνῳ* : Τὸ πρόβλημα τῆς ἐν ὡρισμένῳ χρόνῳ παρουσίας τοῦ Χριστοῦ ἀπησχόλησεν ἐνωρὶς τὸν Χριστιανικὸν κόσμον. Ὁ Ὠριγένης εἰς παρατήρησιν τοῦ Κέλσου *«νῦν ἄρα μετὰ τοσοῦτον αἰῶνα ὁ θεὸς ἀνεμνήσθη δικαιῶσαι τὸν τῶν ἀνθρώπων βίον, πρότερον δὲ ἠμέλει»* ἀπήντησεν ὡς ἑξῆς : *«Κατὰ γὰρ ἑκάστην γενεὰν ἡ σοφία τοῦ θεοῦ εἰς ψυχάς, ἃς εὑρίσκει ὁσίας μεταβαίνουσα φίλους θεοῦ κατασκευάζει»*. Ὠριγένους, Κατὰ Κέλσου, PG 11, 1037A. Πρβλ. καὶ ἑρμηνείαν τοῦ α΄ τροπαρίου τῆς γ΄ ᾠδῆς τοῦ κανόνος εἰς Εὐαγγελισμὸν *«Ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα, ὁ χρόνος ἐπέστη δὲ λοιπόν...»* ἐν Νικοδήμου Ἁγιορείτου, Ἑορτοδρόμιον, ἐν Βενετίᾳ 1836, σ. 217.

13. *κακίας... χεθείσης...* : Ὁ Γρηγόριος ὁ Νύσσης ἐν τῷ λόγῳ εἰς τὴν γέννησιν τοῦ Χριστοῦ λέγει : *«Ὁ θεὸς ἐπὶ τῶν ἐσχάτων ἡμερῶν παραγίνεται, ὅτε οὐκ ἦν ὁ συνιὼν καὶ ἐκζητῶν τὸν θεόν· ὅτε πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν... ὅτε πρὸς τὸ ἀκρότατον μέτρον ὁ τῆς κακίας ζόφος ηὔξησε· τότε ἐπεφάνη ἡ χάρις»*, PG 46, 1132C.

13 - 14. *ἐδεῖτο... μεταβολῆς...* : Ὁ Γρηγόριος Νύσσης ἐν τῷ ιε΄ κεφαλαίῳ τοῦ μεγάλου κατηχητικοῦ λόγου γράφει· *«ἐδεῖτο τοῦ ἰατρεύοντος ἡ φύσις ἡμῶν ἀσθενήσασα, ἐδεῖτο τοῦ ἀνορθοῦντος ὁ ἐν τῷ πτώματι ἄνθρωπος»*, PG 45, 48B.

νὸν αὐτὸν καὶ ἀέρα καὶ γῆν καὶ θάλατταν ἀγλαΐζει καὶ οὕτω πάρεστι πᾶσι τοῖς μὴ τυφλώττουσιν, ἀκριβῶς οὕτω καὶ αὐτὸς ἐν ἑνὶ μέρει κατῳκισμένος τε καὶ περιών, ἐντεῦθεν τὴν αἴγλην τῆς οὐρανίου διδασκαλίας καὶ τῶν θαυμάτων εἰς πάντα κόσμον ἐπαποστέλλει καὶ ἅμα τοῦ ἔθνους ἐν ᾧ ἐγεγόνει, μὴ μόνον ἀμίκτως, ἀλλὰ καὶ ζηλοτύπως ἔχοντος πρὸς τὰ λοιπὰ τῶν ἐθνῶν. Οὐδ' ἦν δυνατὸν ἐξ ἀρχῆς αὐτὸν ἐπιχωριάζειν ἐκείνοις, εἰ μὴ πάντῃ ἔμελλεν ἀποστήσεσθαι τῶν οἰκείων, ὃ καὶ ὀνειδίζοντες ἔλεγον· «μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει |
f. 83r *πορεύεσθαι καὶ διδάσκειν τοὺς Ἕλληνας;». Οὕτω μὲν οὖν οὐκ αὐτὸς ἐπιδεδήμηκε τοῖς περὶ ὧν ὁ λόγος, οὐ μὴν οὐδ' οὕτω παρέλειπε τὴν ἐνδεχομένην ἐκείνων γενέσθαι πρόνοιαν. Κοινῶς μὲν ἅπασι τὸν φυσικὸν νόμον ἐνθείς, ἔνοικον ὄντα τῶν πραττομένων δοκιμαστήν, ἰδίως δὲ ἐπιπέμπων ἑκάστοις ἄνδρας ἀρετῇ διαφέροντας, ὁδηγοὺς πρὸς αὐτὴν ἐσομένους· οἷον Νινευίταις μὲν Ἰωνᾶν, αὐτοῖς δὲ τούτοις*

18 cf. Ps. 110,1, Hebr. 1,13. 20 cf. Joh. 1,7. 23 - 24 Joh. 7,35. 25 cf. Act. 14,16 - 17. 26 cf. Rom. 2,14 - 15. 27 cf. Luc. 4,26. 28 cf. Jon. 1,2, Luc. 11,29.

23 - 24 *τῶν Ἑλλήνων* : *τῶν ἐθνῶν* S 27 *δὲ* : *δὴ* SA 28 post *Ἰωνᾶν* sequentia altera manu scripta in A

18. *οὕτω καὶ αὐτὸς* : Συνήθως ὁ Κύριος ὀνομάζεται ἥλιος δικαιοσύνης, νοητὸς κ.ἄ.· πρβλ. Γρηγορίου Νύσσης *«ἐπέφανε τῆς δικαιοσύνης ὁ ἥλιος τοῖς ἐν σκότει καὶ σκιᾷ καθημένοις»*, Λόγος εἰς τὴν Γεννησιν τοῦ Χριστοῦ, PG 46, 1132C. Ἐπίσης Μαξίμου Ὁμολογητοῦ, ἐν τῷ περὶ ἀγάπης, ἔνθα *«Ὥσπερ ὁ ἥλιος ἀνατέλλων καὶ τὸν κόσμον φωτίζων, δείκνυσί τε ἑαυτὸν καὶ τὰ ὑπ' αὐτοῦ φωτιζόμενα πράγματα, οὕτω καὶ ὁ τῆς δικαιοσύνης Ἥλιος τῷ καθαρῷ νῷ ἀνατέλλων, καὶ ἑαυτὸν δείκνυσι καὶ πάντων τῶν ὑπ' αὐτοῦ γεγονότων καὶ γενησομένων τοὺς λόγους»*, PG 90, 981, ϟε΄.

20. *εἰς πάντα κόσμον* : Πρβλ. Διονυσίου Ἀρεοπαγίτου, *«Πάντα μὲν οὖν τὰ ὄντα μετέχει προνοίας ἐκ τῆς ὑπερουσίου καὶ παναιτίου θεότητος ἐκβλυζομένης· οὐ γὰρ ἂν ἦν εἰ μὴ τῆς τῶν ὄντων οὐσίας καὶ ἀρχῆς μετειλήφει»*, Περὶ τῆς οὐρανίου Ἱεραρχίας, Sources Chrétiennes, 58, Paris 1958, σ. 93 (=PG 3, 177C).

20 - 21. *ἔθνους... ἐθνῶν* : Διὰ τῆς λ. ὀνομάζονται οἵ τε Ἑβραῖοι καὶ οἱ εἰδωλολάτραι· ὅμοιον περιεχόμενον δίδεται εἰς τὴν λ. ὑπὸ τοῦ ἐν εὐρυτέρᾳ ἐννοίᾳ διδασκάλου τοῦ Μάρκου, Ἰωσὴφ τοῦ Βρυεννίου· πρβλ. Ν. Β. Τωμαδάκη, Σύλλαβος Βυζαντινῶν μελετῶν καὶ κειμένων, ἐν Ἀθήναις 1961, σ. 603.

25. *οὐδ' οὕτω παρέλειπε* : Ἐξακολουθητικῶς ὑπάρχει ἡ πρόνοια τοῦ θεοῦ. Ὁ Διονύσιος Ἀρεοπαγίτης, ἐν τῷ «Περὶ θείων ὀνομάτων» λέγει, *«οὐδὲν τῶν ὄντων ἐστὶν ἀπρονόητον»*, PG 3, 733 A.

26. *κοινῶς... ἐνθείς* : Πρόκειται περὶ τῆς ἠθικῆς συνειδήσεως, περὶ ἧς Ἰωάννης ὁ Χρυσόστομος ἐν τῇ δωδεκάτῃ «εἰς τοὺς ἀνδριάντας» ὁμιλίᾳ αὐτοῦ, κεφ. 3, λέγει : *«Ἐξ ἀρχῆς πλάττων ὁ Θεὸς τὸν ἄνθρωπον νόμον αὐτῷ φυσικῶς ἐγκατέθηκε. καὶ τί ποτέ ἐστιν νόμος φυσικός ; τὸ συνειδὸς ἡμῖν διήρθρωσε καὶ αὐτοδίδακτον ἐποίησε τὴν γνῶσιν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων»*, PG 49, 131.

27 - 28. *ἰδίως... ἐσομένους* : Ἴσως ἐνταῦθα νὰ ἐκφράζῃ τὴν ἔποψίν του περὶ τῶν σχέσεων τῆς φιλοσοφίας πρὸς τὴν ἀλήθειαν.

Οἱ πρῶτοι τῶν Χριστιανῶν ἐπίστευον ὅτι ἡ ἀρχαία φιλοσοφία δὲν εἶναι ξένη τῆς

10 - 9 - 1970

Σοδομηνοῖς τὸν φιλόξενον Λώτ, Τυρίοις δὲ καὶ Σιδωνίοις ἔστι μὲν ὅπου καὶ αὐτὸς παραψαύων· ἦλθε γάρ φησιν «εἰς τὰ ὅρια Τύρου καὶ Σιδῶνος», ὅτε καὶ τῆς χαναναίας τὴν πίστιν ἐφανέρωσε κεκρυμμένην. Τὰ πολλὰ δὲ πρὸς ἑαυτὸν αὐτοὺς ἐκκαλούμενος διὰ τῆς φήμης καὶ τῶν θαυμάτων. «οἱ» γὰρ «περὶ Τύρον καὶ Σιδῶνα πλῆθος πολύ, ἀκούσαντες ὅσα ἐποίει ἦλθον πρὸς αὐτόν», ὃ καὶ δῆλον, ὡς οὐδὲν ἂν ἐγένετο πλέον τοῖς ἀνιάτως ἔχουσιν οὐδοτιοῦν εὐεργετηθεῖσι. Τῶν τε γὰρ πρότερον οἱ μὲν Νινευῖται πιστεύσαντες τῷ κηρύγματι καὶ ταῦτα στενῆς οὕτω τῆς προθεσμίας οὔσης μετανοήσαντες διεσώθησαν, οἱ δὲ ἐν Σοδόμοις καὶ πρὸ τούτων οἱ ἐν τῇ γενεᾷ Νῶε τοσαύτης ἀπολαύσαντες
f. 83v *μακροθυμίας τε καὶ προνοίας οὐδὲν ἀπώναντο | καὶ διὰ τοῦτο πυρὶ καὶ ὕδατι κατεκλύσθησαν. Τῶν τε ὕστερον ἐπὶ τῆς αὐτοῦ παρουσίας, ἡ μὲν χαναναία καὶ πρὸ τῆς εὐεργεσίας μεγάλην ἐπεδείξατο πίστιν, ὅπερ οὖν καὶ ἐμαρτυρήθη. Καὶ τάχα πού τινες ὀλίγοι τῶν πρὸς αὐτὸν ἐρχομένων οὕτως ἐπίστευσαν, οἱ δὲ πολλοὶ καὶ εὐεργετούμενοι καὶ τὰ θαύματα βλέποντες οὐ ξυνίεσαν. Ἤδη δὲ καὶ πιστεύοντες ἔνιοι οὐκ ἐπιστεύοντο· «ὁ γὰρ Ἰησοῦς» φησιν «οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς».*

Οὕτως ἡ μοχθηρὰ προαίρεσις καὶ διεστραμμένη παντάπασιν, οὐδαμό-

29 cf. Gen. 13,12. 30 Mc. 7,24, Matth. 15,21. 31 cf. Matth. 15,28. 32 cf. Matth. 9,26, Luc. 4,14. 32 - 33 Mc. 3,8. 35 cf. Ion. 3,5. 36 cf. Ibid. 3,10. 38 - 39 cf. Gen. 19,9,24, 6,13, 7,17. 39 - 40 cf. Matth. 15,22 - 28. 43 cf. Joh. 12,37, Is. 53,1. 43 - 44 Joh. 2,24.

31 - 32 *πρὸς ἑαυτοὺς ἐκκαλούμενος* S 33 *φησὶ* post *Τύρον* PVA 40 *αὐτοῦ* post *τῆς* S *μεγάλην* iteratum in S

θείας διατάξεως καὶ οἰκονομίας. Ὁ πρὸ τοῦ Χριστοῦ λόγος ἀπεκαλύφθη αὐτοῖς ὡς σπερματικὸς λόγος. Περὶ ὧν καὶ περὶ τοῦ ὅρου ὅρα Κ. Ι. Λογοθέτου, Ἡ φιλοσοφία τῶν Πατέρων καὶ τοῦ μέσου αἰῶνος, ἐν Ἀθήναις 1930, σ. 64 καὶ αὐτόθι σημ. 1, 2. Ὁ Κλήμης Ἀλεξανδρεὺς ἐν Στρωματεῦσι λέγει διὰ τὴν φιλοσοφίαν *«ἀλήθειαν οὖσαν, εἰκόνα ἐναργῆ δωρεὰν τοῖς Ἕλλησι δεδομένην»*, Clemens Alexandrinus, Stromata von Otto Stählin, Leipzig 1960, τ. 2, σ. 13. Ἀργότερον ἐγένετο δεκτὸν ὅτι αἱ ἀληθεῖς προτάσεις ἕλκουν τὴν καταγωγὴν αὐτῶν ἐκ τοῦ Μωυσέως. Οἱ ἀνθρωπισταὶ ἐν τούτοις, τοῦ ια΄ αἰ., ἐπανέφεραν τὴν διδασκαλίαν περὶ σπερματικοῦ λόγου. Πρβλ. Γρηγορίου τοῦ Παλαμᾶ, Συγγράμματα, Ἐπιμέλεια Π. Κ. Χρήστου, τ. Α΄, Θεσσαλονίκη 1962, σ. 373, σημ. 4. Ὁ Γρηγόριος Παλαμᾶς ἐν τούτοις δέχεται τὴν παλαιὰν δόξαν διὸ καὶ αὐτόθι λέγει *«Ἴσμεν μὲν οὖν, εἴ τι χρηστὸν αὐτοῖς* (sc. τοῖς Ἕλλησι) *ἐκεῖθεν* (sc. τῶν Ἑβραίων) *ἐκ παρακρουσμάτων μετειλημμένον, ἀλλὰ καὶ συνήκαμεν ἐπισκεψάμενοι μὴ πρὸς τὴν ὁμοίαν διάνοιαν ἐξειλημμένον»*. Ὁ Μᾶρκος ἐνταῦθα μὴ ποιῶν διάκρισιν πιθανώτατα φαίνεται πιστεύων περὶ τῆς αὐθυπάρκτου, θείᾳ ἐπινεύσει, ἑλληνικῆς φιλοσοφίας. Κατωτέρω (σ. 358,88) ἄλλως τε περὶ ταύτης λέγει ὅτι *«καὶ οὗτοι* (sc. οἱ φιλόσοφοι) *τιμᾶν οἴδασι ἀρετὴν ὑπὸ τοῦ φυσικοῦ κινούμενοι νόμου»*.

36. *στενῆς... οὔσης* : Ὑπονοεῖται τὸ κήρυγμα Ἰωνᾶ τοῦ προφήτου ὅπερ ἔλεγεν *«ἔτι τρεῖς ἡμέραι καὶ Νινευὶ καταστραφήσεται»*, Ἰωνᾶς 3,4.

θεν οἶδε κερδαίνειν, ἣν ὁ θεὸς ἐνάγειν πρὸς τἀγαθὸν ἀεὶ βούλεται, δι᾽ ἁπάσης οἰκονομίας· οὐ γὰρ δὴ βίᾳ καὶ τυραννίδι προσῆκε. Ναί, φησίν, ἀλλὰ ταῦτα μὲν οὕτως ἔχειν ἀνάγκη, τὸ δὲ ζητούμενον ἦν, ὅτου χάριν εἴρηκε ταῦτα τὸ ἀψευδέστατον στόμα.

Πρὸς δὴ τοῦτο φαμὲν ὅτι πᾶσι τρόποις ἔργων τε καὶ λόγων χρώμενος ὁ θεὸς τῶν πρὸς ἡμετέραν ὠφέλειαν συντεινόντων, οὐδὲ τῷ καθ᾽ ὑπερβολὴν λεγομένῳ τοῦ λόγου σχήματι παραιτεῖται κεχρῆσθαι. Καὶ ὥσπερ ἐπὶ τοῦ μέλλοντος ἀπειλεῖ πολλάκις οὐκ εἰς ἔργα τοὺς λόγους ἐξάγων ἀλλ᾽ ἀνεχόμενος διαψεύδεσθαι τούτους, μετανοούντων ἡμῶν, ὅπερ ἐπὶ τοῦ Ἰωνᾶ γέγονε, τὸν f. 84r *αὐτὸν τρόπον ἐπὶ τοῦ παρελθόντος, ὑπο|θέσεσι καὶ ὑπερβολαῖς εἰς ζῆλον ἀρετῆς ἐπάγεται τοὺς μαθητευομένους, ὥσπερ ἄν τις εἴποι δεσπότης πρὸς ἀγνώμονας δούλους εἰ ἀλόγοις τὰς πρὸς ὑμᾶς εὐεργεσίας ἐχαρισάμην ηὐγνωμόνησαν ἄν· ἢ εἰ διδάσκαλος ἀσυνέτοις καὶ ἀμνήμοσι μαθηταῖς εἰ λίθοις τὰ μαθήματα παρεθέμην ἐπηκολούθησαν ἄν, οὐ πάντως τῶν ἀλόγων ἢ λίθων εἰς λογικήν τινα φύσιν μεταβληθησομένων.*

Οὕτω καὶ νῦν οὐκ ἐνεδέχετο μὲν ἐκείνους εἰς ὑπερβολὴν κακίας ἐληλακότας μετανοῆσαι καὶ τὰ ἐπηρτημένα διαφυγεῖν, οὐδ᾽ ἂν ὁτιοῦν παράδοξον εἶδον ἢ χρηστὸν ἐπεπόνθεσαν. Ὠκονόμηται δὲ ὁ λόγος παρὰ τοῦ φιλανθρωποτάτου θεοῦ πρὸς τὴν τῶν ἀκουόντων ὠφέλειαν, καὶ τούτῳ τῷ τρόπῳ πολλὰ δυνησόμεθα τῶν ἐν ταῖς γραφαῖς δοκούντων διαφωνεῖν τῇ ἐνεργείᾳ τῶν πρα-

46 cf. Rom. 8,28. 46 - 47 cf. Eph. 3,2, Col. 1,25. 47 Matth. 11,21, Luc. 10,13. 50 cf. 2Th. 2,17. 54 cf. Ion. 3,4. 57 cf. 2Pe. 2,12. 58 - 59 cf. Luc. 19,40.

48 *ἔχει* A 56 *εἰ* ante *δεσπότης* S 57 *ἡμᾶς* SA 58 *εἰ* post *ἢ* om. P *ἀμνήμοσι : ἀγνώμοσι* S *ἢ εἰ λίθοις* VSA 60 *τινα* om. S 63 *ἐπεπόνθησαν* A 65 *τῶν* om. S

47. *οὐ γὰρ δὴ βίᾳ* : Ὁ Γεώργιος Σχολάριος ἐν τῷ «Περὶ θείου προορισμοῦ» ἐπιλέγει ὅτι *«οὐδὲ πρὸς τἀγαθὸν βιάζεται* (sc. ὁ θεὸς) *τὴν ἀνθρωπίνην προαίρεσιν»,* Ἅπαντα, τ. I, Paris 1928, σ. 431.

63 - 64. *Ὠκονόμηται... ὠφέλειαν* : Γενικῶς εἰπεῖν τὰ τῆς θείας προνοίας ἔργα συντείνουν πρὸς τὴν ὠφέλειαν τῶν πιστῶν καὶ συντήρησιν αὐτῶν· πρβλ. Διονυσίου Ἀρεοπαγίτου: *«Ἀλλὰ καὶ τοῖς γινομένοις κακοῖς ἀγαθοπρεπῶς ἡ πρόνοια κέχρηται, πρὸς τὴν αὐτῶν ἢ ἄλλων ἢ ἰδικὴν ἢ κοινὴν ὠφέλειαν, καὶ οἰκείως ἑκάστου τῶν ὄντων προνοεῖ»,* Περὶ θείων ὀνομάτων, PG 3, 733. Ὁ Σχολάριος, ἐπίσης ἔνθ᾽ ἀνωτ., σ. 443, γράφει : *«Συντέμνει τε* (sc. τὴν ζωὴν ὁ Θεὸς) *τῷ φαύλως βιοῦντι ἐπὶ τὸ ἄλλοις βέλτιον, ὡς ἂν μήτε βλάπτοιντο ζῶντος καὶ ὠφελοῖντο τῇ τῆς πονηρίας βιαίᾳ τομῇ»,* ὁ αὐτὸς ἐν τῷ «Περὶ τῶν ἀνθρωπείων ψυχῶν, τί αὐταῖς γίνεται μετὰ τὴν τῶν σωμάτων ἀπαλλαγὴν» παρατηρεῖ : *«Τοῦ θεοῦ δυνάμεως ἀγαθότητός τε περιουσίᾳ χρωμένου καὶ τῷ κακῷ πρὸς τὴν τοῦ καλοῦ συντήρησίν τε καὶ αὔξησιν»,* Ἅπαντα, τ. I, σ. 510.

γμάτων ἐπιλύειν καὶ συμβιβάζειν· ἀπὸ γὰρ τῶν οἰκείων ἡμῖν καὶ συνήθων φωνῶν ἡ γραφὴ πολλαχοῦ διαλέγεται καὶ οὕτω τὰ κατάλληλα ἐπιτίθησι φάρμακα.

2

f. 84r *Πολλήν τινα δοκοῦσιν οἱ τοῦ Χριστοῦ νόμοι τοῖς ἁμαρτάνουσιν εὐρυχωρίαν τεμεῖν· εἰ γὰρ τοῖς οἰκείοις ἐκέλευσε μαθηταῖς ἀφαιρουμένοις μὲν τὸ* f. 84v *ἱμάτιον προστιθέναι καὶ τὸν χιτῶνα, ἀγγαρευομένοις δὲ ἐπιδαψιλεύεσθαι, | ἐπὶ κόρρης δὲ παιομένοις ἐμπαρέχειν καὶ τὴν ἑτέραν, αἰτουμένοις δὲ ἃ βούλεταί τις διδόναι καί, ἐπὶ τούτοις, ἀφιέναι τοῖς ἁμαρτήσασιν ἑβδομηκοντάκις ἑπτά, τί γε ἄλλο ἢ πάντα μὲν ἀποκλείειν δικαστήρια καὶ νόμους, πᾶσι δὲ ἀνέδην ἐπιτρέπει τοῖς βουλομένοις ἐμπαροινεῖν τοῖς ἐπιεικέσιν ; ἔτι δὲ εἰ ταὐτὸν ἀγαθὸν ἰδίᾳ τε καὶ κοινῇ, τίς μὲν ἂν πόλις οὕτω συσταίη, τίνων δ᾽ ἂν ἄρξειε τοιούτοις νόμοις χρωμένη ;*

Λύσις:

Πρὸς δὴ ταῦτα φαμὲν ὅτι μάλιστα μὲν οὐ θατέρῳ μέρει νομοθετῶν ἔξω τῶν νόμων εἴασε τὸ λοιπόν, ἀλλ᾽ εἰ μὲν εἶεν ἀμφότερα τῆς αὐτοῦ ἀγέλης ἐπίσης ὑποκείσονται δῆλα δὴ τοῖς νόμοις, καὶ ἑκάτερος ἑκατέρῳ βουλήσεται τοῦθ᾽ ὅπερ αὐτῷ παρὰ τοῦ ἑτέρου, τοῦτο γὰρ ἐν ἑτέρῳ κεῖται νόμῳ. «Καθὼς θέλετε» φάσκοντι ποιεῖν ὑμῖν τοὺς ἀνθρώπους, οὕτω «καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς». Εἰ δὲ καὶ παρεκβήσεται θάτερον μέρος ἐπὶ τὸ βιάζεσθαι καὶ πλεονεκτεῖν, ἀλλά γε ὑπὸ τῆς θατέρου, φιλοσοφίας ἀγόμενον, ἥξει πάντως ἐπὶ τὸ μέσον καὶ τὴν ἰσότητα καὶ ὑπομνησθήσεται τῶν ὀφειλομένων. Ὅπερ καὶ λῃστάς τινάς φασιν ἑνὶ τῶν πατέρων ἐπιθεμένους ποιῆσαι, προσεπιδόντος γὰρ αὐτοῖς ἐκείνου καὶ ὃ ὑπελίπετο τῶν σκευῶν, αὐτοὺς ἀναστρέψαντας ἀποδοῦναι f. 85r *πάντα τῷ ἠδικημένῳ καὶ τοῦ λοιποῦ πέπαυνται | τοῦ κακουργεῖν.*

Ὥστε καὶ ἣν οἱ νόμοι δοκοῦσιν ἀφαιρεῖσθαι τῶν πειθομένων ἰσότητα, διὰ τὸ παιδεῦσαι φιλοσοφεῖν, μᾶλλον ἐπανορθοῦντες φαίνονται λυομένην.

2 - 3 cf. Matth. 5,39 - 43, Luc. 6,29. 5 cf. Matth. 18,22, Gen. 4,24. 14 - 16 Luc. 6,31 cf. Matth. 7,12. 18 - 21 locus non exstat.

1 *ἀπορία* in marg. VS 2 *οἰκείοις : δικαίοις* S 3 - 4 *παιομένης δὲ* ante *ἐπὶ κόρρης* VSA 6 *τε* post *δικαστήρια* A 10 *λύσις* in marg. VSA 14 *αὐτῷ : ἑαυτῷ* VSA 19 post *ποιῆσαι* folium 424v vacuum praebet A 20 *ὑπελείποντο* P

3. *ἀγγαρευομένοις : «Τὸ γὰρ ἀγγαρεῦσαι τοῦτό ἐστι τὸ ἀδίκως ἑλκύσαι, καὶ ἄνευ λόγου τινός, καὶ ἐπηρεάζοντα. Ἀλλ᾽ ὅμως καὶ πρὸς τοῦτο ἔσο παρατεταγμένος, ὥστε πλέον παθεῖν ἢ ἐκεῖνος βούλεται ποιῆσαι»,* Ἰωάννης ὁ Χρυσόστομος, ἐν τῷ «Ὑπομνήματι εἰς τὸν ἅγιον Ματθαῖον τὸν εὐαγγελιστήν, PG 57, 268.

Καὶ καθάπερ τῶν ἔξω νόμων οἱ μέν εἰσι διανεμητικοὶ καὶ φυλακτικοὶ τοῦ ἴσου τε καὶ δικαίου, οἱ δὲ ἐπανορθωτικοί, τὸν αὐτὸν καὶ ἐνταῦθα τρόπον· διανεμητικοὶ μὲν καὶ κοινῇ πάντων ὁ τὰ αὐτὰ τοῖς παρ᾽ ἑτέρων ἡμῖν ἐπιζητουμένοις ποιεῖν παραινῶν, ἐπανορθωτικοὶ δὲ οἱ λοιποὶ τῶν προειρημένων. Πλὴν ἐκεῖ μὲν διὰ κολάσεως ὡς τὸ πολλὰ καὶ ζημίας οἱ ἐπανορθωτικοὶ τῶν νόμων τὴν ἰσχὺν ἐπιδείκνυνται, καὶ οὐ τὴν γνώμην οὐδαμοῦ τοῦ ἠδικηκότος, ἀλλὰ τὰς ἔξω πράξεις ἐπανορθοῦσιν. Ἐνταῦθα δὲ πρὸς τὴν γνώμην αὐτὴν ἡ πρόνοια βλέπει τοῦ νομοθέτου καὶ ταύτην ἐπανορθοῦν βούλεται. Τὸ μὲν γὰρ τοῖς ἔξω νόμοις καὶ δικασταῖς ἐφ᾽ οἷς ἠδίκηται προσιέναι καὶ τῶν δικαίων τυγχάνειν παντός ἐστι καὶ τοῦ βουλομένου, χριστιανοῦ δὲ ἀληθοῦς οὐ τὸ ἀφῃρημένον τοσοῦτον ἀπολαβεῖν, πολλοῦ γε δεῖ καὶ ἀμύνασθαι τὸν λελυπηκότα, ὅσον τὴν γνώμην διορθῶσαι τῇ κακίᾳ παρενεχθεῖσαν. Καὶ τοῦτον ἔχει σκοπὸν
f. 85v ἡ πρὸς τὴν τοῦ κακοῦ φορὰν ὑποχώρησις καὶ τὸ προσ|φιλοτιμεῖσθαι τοὺς ἀδικοῦντας· οὐ γὰρ κακῷ τὸ κακόν, ἀλλ᾽ ἀγαθῷ πάντως ἰᾶται.

Ἐπεί τοι γε ἂν τοῦτο μὴ προχωρῇ τάχα που παντάπασιν ἠλιθίου καὶ ἀσυνέτου τοῦ παροξύναντος ὄντος, προσαρμοστέον ἕτερον νόμον, ὃς τὸν ἠδικηκότα, πρῶτον μὲν αὐτὸν μόνον ἔπειτ᾽ ἐφ᾽ ἑνὸς ἢ δυοῖν ἑτέρων εἶτ᾽ ἐπὶ πάσης τῆς ἐκκλησίας διελέγχειν κελεύει. Καθόλου γὰρ ἐκεῖνο εἰδέναι χρεών, ὡς οὐδεὶς σχεδὸν νόμος ἁπλῶς καὶ ἀδιορίστως ἐπὶ πάντων ἐφαρμόζειν δύναται τῶν πραγμάτων, φύσει τούτων ἀορίστων ὄντων· τοιούτους γὰρ εἶναι τοὺς λόγους ἀνάγκη οἷα τὰ ὑποκείμενα περὶ ὧν οἱ λόγοι, λόγοι δέ τινες καὶ οἱ νόμοι. Προσερανιστέον οὖν ἑκάστῳ τὰ λείποντα παρὰ τῶν συγγενῶν καὶ ὁμοίως ἐχόντων, ἵν᾽ ἡ πᾶσα νομοθεσία σύμφωνος ἑαυτῇ καὶ καταλλήλως ἔχουσα διὰ πάντων ἀποφανθῇ. Καὶ ὅταν κελεύῃ τῷ αἰτοῦντι διδόναι, προσθετέον τὸ ᾧ δεῖ καὶ ὃ καὶ ὅτε καὶ ὥς· οὐ γὰρ δὴ καὶ τοῖς χοίροις τοὺς μαργαρίτας δοτέον, ὡς εἴρηκεν ἐν ἑτέροις, οὐδ᾽ ἂν αἰτῶσι δήπου καὶ πολλὰ βούλωνται·

39 - 41 cf. Matth. 18,15 - 17, Dt. 15,17. 47 cf. Matth. 5,42, Luc. 6,30. 49 cf. Matth. 7,6.

38 μὴ post ἂν P 42 ἁπλῶς post οὐδεὶς P 46 ἔχουσαν S 49 ἐν om. S

24. οἱ μὲν (νόμοι) εἰσι: Ὁ Βασίλειος Καισαρείας ἐν τῇ ἑρμηνείᾳ αὐτοῦ εἰς τὸν προφήτην Ἡσαΐαν, PG 30, 164A, διακρίνει τοὺς νόμους εἰς «προστατικοὺς μὲν ὧν ποιητέον, ἀπαγορευτικοὺς δὲ ὧν οὐ ποιητέον».

37. Ἀρχαιοτάτη ἡ παροιμία, πρβλ. Αἰσχύλον, fragmentun 349: «μὴ κακοῖς ἰῶ κακά». Ὁ Ἡρόδοτος ἐν III, 53: «Φιλοτιμίη κτῆμα σκαιόν· μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ». Τὰ αὐτὰ σχεδὸν καὶ ἐν Θουκιδίδου Ε, 65. Διήκει δὲ καὶ διὰ τοῦ Βυζαντινοῦ κόσμου, ὁ Γρηγόριος Παλαμᾶς ἔν τινι ἐπιστολῇ του λέγει «ἐν τῷ ἀγαθῷ τὸ κακὸν ἰᾶσθαι». Βλ. Στ. Κουρούση, Γρηγορίου Παλαμᾶ τέσσαρες ἀνέκδοτοι ἐπιστολαὶ πρὸς Ἅγιον Ὄρος, ΕΕΒΣ ΛΒ', 1963, σ. 345,52, καὶ Γρηγορίου Παλαμᾶ, Συγγράμματα, ἔνθ᾽ ἀνωτ., Β', σ. 511,4.

καθάπερ οὐδὲ τῷ μαινομένῳ μάχαιραν, ἵν᾽ ἑτέρους καὶ ἑαυτὸν ἀποκτείνῃ.

Κἀνταῦθα τοίνυν τὸν ἀφ᾽ ἑαυτοῦ καὶ τῆς τοῦ ἠδικημένου φιλοσοφίας μὴ συνιέντα, δι᾽ ἑτέρων λοιπὸν ἐπιστρέφειν κελεύει καὶ ὁ σκοπός, ὅπερ εἴπο-
f. 86r μεν, | ἡ τοῦ ἠδικηκότος διόρθωσις, οὗτος γάρ ἐστιν ὁ ἠδικημένος ὡς ἀληθῶς. Καὶ «ἐάν σοῦ» φησιν «ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου»· τίς ἂν οὖν ἀξίως ὑμνήσειε τοὺς τοιούτους νόμους, οἳ φιλοσοφίαν μὲν ἡμᾶς ἐκπαιδεύουσιν ἐν αὐτῷ τῷ πάσχειν κακῶς, ἐπιμέλειαν δὲ τοῦ ὁμοφύλου τοσοῦτον ὡς ἢ κἀκεῖνον ἅμα φιλοσοφεῖν ἀναπείθειν ἢ γοῦν ἅπασι τρόποις ὡς ἔνι μάλιστα διορθοῦν.

Ἅμα δὲ δῆλον ὡς καὶ ἡ ἐπανίσωσις τῷ ἠδικημένῳ πολλῷ γε βέλτιον καὶ σεμνότερον ἢ κατὰ τοὺς ἔξωθεν περιέσται νόμους. Εἰ δ᾽ ἐς τοσοῦτον ὁ ἠδικηκὼς ἐλάσει θηριωδίας καὶ ἀλογίας, ὡς ἑλέσθαι παρὰ τῷ ἀδελφῷ μετὰ τῶν ἐθνικῶν τετάχθαι καὶ τελωνῶν, οὐδὲν ἂν οἶμαι χεῖρον ὑποσταίη τῆς ἐκείνου ζημίας ὁ ἐν τοῖς ἄλλοις ἠδικημένος, εἰ μὴ ἄρα παντάπασιν οὕτω μικροψύχως ἔχοι καὶ ἀγεννῶς ὡς τὰ φθαρτὰ νομίζειν ἑαυτῷ τιμιώτερα τῆς ἀφθάρτου τοῦ ἀδελφοῦ ψυχῆς, ὅν γε οὐδὲ μαθητὴν ἔτι κλητέον Χριστοῦ, ἀλλ᾽ ἕνα πάντως ἐκείνων, οἷς καὶ μετὰ τὸ δόξαι πιστεῦσαι, ὁ Κύριος ἔλεγεν· «ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε, καὶ γνώσεσθε τὴν ἀλήθειαν», ὡς οὐ πάντως μενοῦσιν οὐδὲ τὴν ἀλήθειαν ἐπιγνωσομένοις, ὃ καὶ μετ᾽ ὀλίγον ἔδειξαν οὐ καταφρονητικῶς μόνον, ἀλλὰ καὶ ὑβριστικῶς
f. 86v αὐτῷ προσφερόμενοι. | Ὁ τοιοῦτος κἂν τοῖς ἔξωθεν προσέλθῃ δικαστηρίοις, οὐ μέλει τῇ ἐκκλησίᾳ λοιπόν, τάξεις γάρ εἰσι τῶν πιστῶν ἐν αὐτῇ καὶ διαφοραὶ καὶ βαθμοὶ καὶ οὐ πάντα ἀνάγκη τὸν πιστεύοντα τῷ Χριστῷ καὶ μαθητὴν εἶναι τοῦ πιστευομένου, καθάπερ ἐδείξαμεν. Οὕτω μὲν οὖν οἱ νόμοι καὶ ἀμφοτέροις τοῖς μέρεσι τὰ γιγνόμενα σῴζουσι προφυλάσσονταί τε μὴ ἀδικεῖν καὶ ἠδικηκότας ἐπανισοῦσιν.

Ἐντεῦθεν δὲ δῆλον ὡς καὶ πόλιν ὁλόκληρον ἐνδέχοιτ᾽ ἂν εἶναι τοιούτοις νόμοις χρωμένην καὶ πολλῷ γε μᾶλλον ἧς ἀνέπλασε Πλάτων ὁ τῶν παρ᾽ Ἕλλησι σοφῶν κορυφαῖος· ὃ γὰρ ἐπὶ τῆς δυοῖν κοινωνίας ἐδείχθη τοῦτο καὶ ἐφ᾽ ὅλης πόλεως οὐδὲν ἀπεικὸς φυλαχθῆναι, κοινωνία γὰρ πλειόνων ἡ πόλις ἐς ταὐτὸ συνελθόντων.

54 Matth. 18,15. 61 - 62 Matth. 18,17. 65 - 67 Joh. 8,31 - 32.

50 αὐτὸν P 54 ἂν om. P 54 ἡμᾶς om. A 58 ἡ om. A 73 γινόμενα A 79 ἐν ταυτὸ VSA

70 - 71. τάξεις... βαθμοί: Ὁ Νικόδημος Ἁγιορείτης, ἔνθ᾽ ἀνωτ., σ. ιθ' γράφει ὅτι «ὡς ἐν τῇ οὐρανίῳ ἱεραρχίᾳ εἶναι ἐννέα τάγματα, οὕτω καὶ ἐν τῇ κάτω. Ἀρχιερεῖς, ἱερεῖς, διάκονοι, ὑποδιάκονοι, ἀναγνῶσται, ψάλται, κληρικοί, μοναχοὶ καὶ λαϊκοί».

78 - 79. Ὀρθότερον ὁ Βασίλειος Καισαρείας, ἔνθ᾽ ἀνωτ., PG 30, 149B, λέγει, ὅτι «πόλις ἐστὶ σύστημα ἀνθρώπων ἐκ διαφόρων ἐπιτηδευμάτων ἐπὶ κοινωνίᾳ βίου συγκεκροτημένον».

Ὥστε καὶ πρὸς φιλοσοφίαν ἅμα καὶ πρὸς ἀσφάλειαν οὐδένας ἄν τις εὕροι βελτίονας νόμους τῶν ὑπὸ τοῦ σωτῆρος ἡμῶν εἰσενηνεγμένων. Ἀλλ' ἔξω τῆς αὐτοῦ ἀγέλης ὁ κοινωνὸς καὶ οὐδὲν αὐτῷ μέλει τῶν παρ' ἐκείνου νόμων; μάλιστα μὲν καὶ οὗτοι τιμᾶν οἴδασιν ἀρετὴν ὑπὸ τοῦ φυσικοῦ κινούμενοι νόμου καὶ αἰδεῖσθαι τοὺς οὕτω φιλοσοφοῦντας. Εἰ δ' οὖν, ἀλλ' ἐνταῦθα λοιπὸν εἰσίασιν οἱ περὶ φιλοσοφίας ὑψηλοὶ νόμοι καὶ τῆς τῶν παρόντων ὑπεροψίας καὶ τῆς ἐν τοῖς δεινοῖς καρτερίας, οὐ μὴν ἀλλὰ καὶ αἱ περὶ τούτων προρρήσεις f. 87r *ἱκαναὶ πρὸς θάρσος ἀλεῖψαι μετὰ τῆς | τῶν μελλόντων ἐλπίδος· «ἐν τῷ κόσμῳ» γάρ φησι «θλῖψιν ἔχετε, ἀλλὰ θαρσεῖτε» καὶ ἑαυτὸν τιθεὶς εἰς ὑπόδειγμα, «εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν». Εἰ δ' ἄρα τις ἐνταῦθα καὶ διὰ τῶν ἔξω δικαστηρίων δυνηθείη διαλύσασθαι τὰ πρὸς τὸν ἠδικηκότα, καινὸν οὐδὲν οὐδ' ἀπᾷδον τοῖς νόμοις. Ὥσπερ γὰρ οἱ ἰδικοὶ νόμοι τοῖς μεμαθητευμένοις τῷ λόγῳ τῆς πίστεως, οὕτω καὶ οἱ κοινωνικοὶ δῆλον ὅτι τοῖς κεκοινωνηκόσι κεῖνται τῆς αὐτῆς πίστεως, ἵν' ἀμφότερα τὰ μέρη ὑπακούειν ἔχῃ τῷ λόγῳ καθὰ εἴρηται, καίτοι γε οὐδ' ἐκεῖ καθάπαξ ἐκώλυσε τοῦ δικαστηρίου τὴν χρῆσιν· τὸ γὰρ τῇ ἐκκλησίᾳ κελεύειν εἰπεῖν δικαστήριον καθίζοντος ἦν. Ἐκώλυσε δ' ἂν ἴσως ἐπὶ ἀπίστων δικάσασθαι, καθάπερ καὶ ὁ ἀπόστολός φησι· «τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τὸν ἀδίκων;» οὐ μὴν ἀλλὰ καὶ τὸν ἠδικηκότα κελεύει πρὸ τοῦ δικαστηρίου διαλύσασθαι τῷ ἠδικημένῳ· «τί» γάρ φησιν «ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον;» ὥσθ' ὅπερ ἂν αὐτοὶ βούλοιντο πρὸ πάντων οἱ δικασταὶ πραγμάτων ἀπηλλάχθαι μηδενὸς ὄντος ἠδικημένου μηδὲ καταβοῶντος, τοῦτο κατορθοῦσιν οἱ τοῦ χριστοῦ νόμοι παρὰ τοῖς πειθομένοις. Οὔτ' ἄρα τῶν κειμένων οὐδὲν* f. 87v *ἀναιροῦσι καὶ προσεπανορθοῦσιν | ἰδίᾳ τε καὶ κοινῇ τὰς πόλεις φιλοσοφίαν εἰσηγούμενοι τὴν ἀκριβεστάτην ἅμα καὶ κοινοτάτην.*

Ἐκείνους δέ γε τοὺς τοῖς ἀποστόλοις ἰδικῶς δεδομένους πρὸς τὸ κήρυγμα πεμπομένοις ἀποστολικοὺς ἡγητέον νόμους καὶ τῷ τότε καιρῷ χρησίμους καὶ οὐκ ἀπαιτητέον αὐτοὺς οὐδένα τῶν καθ' ἡμᾶς μάλιστα ῥαθυμούντων, οἷον τὸ μὴ κτήσασθαι δύο χιτῶνας καὶ τὸ μὴ αἴρειν εἰς ὁδὸν βαλάντιον μηδὲ ῥάβδον μηδ' ὑποδήματα· καὶ γὰρ αὐτὸς αὐτοὺς ἔλυσε δεικνὺς ὅτι καὶ πρὸς καιρὸν ἔδωκεν ἐπὶ τὸ πάθος ἐρχόμενος. «Νῦν» γάρ φησιν «ὁ ἔχων βαλάντιον ἀράτω καὶ πήραν».

Οὐδὲν οὖν ἀδύνατον οὐδ' ἀπᾷδον οὔτ' ἀναιρετικὸν πολιτείας ὁ δεσπότης

---

87 cf. Tit. 1,2. 87 - 88 Joh. 16,33. 89 Joh. 15,18 cf. Matth. 10,22. 95 cf. Matth. 18,17. 97 - 98 ICor. 6,1. 99 Luc. 12,57. 108 cf. Matth. 10,10. 110 - 111 Luc. 22,36.

---

84 *εἰ δέ ἦν* P *εἰ δὲ οὖν* S 88 *φησιν* SA *ἕξετε* S 96 *ἐκώλυσε ἂν* S 109 *ῥάβδον μηδὲ μηδ' ὑποδήματα* S

ἡμῶν ἐνομοθέτησεν ὁ Χριστός, ἀλλ' ὥσπερ αὐτὸς ἐπὶ σωτηρίᾳ τοῦ γένους ἅπαντα τὸν ἐν σαρκὶ διήγαγε βίον, οὕτω καὶ σωτηρίους ἔθετο νόμους καὶ οἷς μάλιστα χρώμενοι πρός τε τὰ παρόντα εὐδαιμονήσομεν καὶ πρὸς τὰ μέλλοντα ἐλπίδας ἀγαθὰς ἕξομεν.

---

113 cf. Matth. 17,1. 114 cf. Jac. 4,12.

---

116 *ἐλπίδα ἀγαθὴν* VSA

3

f. 87v

Τοῦ αὐτοῦ ἑτέρα ἀπορία

Εἰ καὶ ἡ σμικροτάτη πίστις, ὡς ἰσομεγέθης εἶναι κόκκῳ σινάπεως, ὄρη μεθίστησι, πῶς οὐδεὶς τῶν ἀποστόλων οὔτε τῶν λοιπῶν ἁγίων τοιοῦτόν τι πεποίηκεν, ὅσα γε καὶ φανερὸν εἶναι; πῶς δὲ καὶ ὁ θειότατος Παῦλος, πᾶσαν f. 88r *ἔφη τὴν πίστιν τοῦτο δύνασθαι; «ἐὰν ἔχω» | γάρ φησι «πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάνειν»· εἰ πᾶσα πῶς ὡς κόκκος σινάπεως; καὶ εἰ ὡς κόκκος σινάπεως πῶς πᾶσα;*

Λύσις:

Πρῶτον μὲν ἐκεῖνο εἰδέναι ἄξιον τοὺς μέλλοντας διασῴζειν τὴν τῆς Γραφῆς συμφωνίαν, ὃ καὶ ἐπὶ παντὸς λόγου χρήσιμόν τε καὶ ἀληθές, ὡς αἱ ἑκασταχοῦ λαμβανόμεναι παραβολαὶ πρὸς τὴν τῶν ὑποκειμένων νοημάτων δήλωσιν οὐ κατὰ πάντα τὸ συγγενὲς πρὸς αὐτὰ ἔχουσιν οὔθ' ἡμῖν ἐν ἅπασι χρησιμεύουσιν, ἀλλ' ἕν τι καὶ δεύτερον ἴσως ἐξ αὐτῶν λαμβάνοντες τὰ λοιπὰ παραιτούμεθα. Κλέπτῃ γοῦν ἑαυτὸν διορρύττοντι τὴν οἰκίαν παραβάλλοντος τοῦ Κυρίου, κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν, τὸ μὲν τοῦ κλέπτου ἔργον καὶ δὴ καὶ τὸν τρόπον ὡς οὐδὲν οἰκεῖα τῷ πράγματι παραλείπομεν τὸ δ' αἰφνίδιόν τε καὶ ἀπροσδόκητον ἐκλαμβάνομεν· «οὐκ οἴδατε» γάρ φησι «ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται»· οὕτω καὶ ὅταν ἑαυτὸν μὲν ἀμπέλῳ τὸν δὲ πατέρα γεωργῷ παρεικάζῃ οὐ τὴν πρὸς τὸν πατέρα σχέσιν αὐτοῦ νοοῦμεν· εἴη γὰρ ἂν οὕτως

---

2 cf. Matth. 17,20, Mc. 11,23, Luc. 17,6. 5 - 6 ICor. 13,2. 14 cf. Matth. 24,43, Luc. 12,39, ITh. 5,2, Ap. 3,3, 16,15 17 - 18 Matth. 24,43. 18 - 19 cf. Joh. 15,1, Jr. 2,21.

---

1 Titulus P : *ἀπορία τοῦ αὐτοῦ* M *ἀπορία* in marg. VSA 6 *πᾶσαν* S *κόκκος... κόκκος : κόκκῳ... κόκκῳ* M 8 *λύσις* post *πᾶσα* in marg. VSA *λύσις τοῦ αὐτοῦ* in marg. M 9 *εἰ δέον ἄξιον* A 12 *πάντα : πᾶν* S 18 *ἡμῶν* VSA

ἀλλότριος τῆς αὐτοῦ οὐσίας ὥσπερ ἡ ἄμπελος τοῦ γεωργοῦ, καθὰ τοῖς ἀρειανοῖς ἐδόκει κακῶς ἐκλαμβάνουσιν, ἀλλὰ τὴν πρὸς ἡμᾶς δηλονότι καθ' ἣν ἡμῖν γενόμενος συμφυὴς οὕτως ἡμῖν ἑαυτὸν ἥνωσε καθάπερ ἥνωται f. 88v | φύσει τῇ ἀμπέλῳ τὰ κλήματα. Καὶ ἐνταῦθα τοίνυν ἐκ τῆς τοῦ σινάπεως κόκκου παραβολῆς οὐ τὴν σμικρότητα πάντως, ἀλλὰ τὸ πολυδύναμον ἐκληψόμεθα νοοῦντες οὕτως, ὡς ἐὰν ἔχητε πίστιν ἴσα δυναμένην κόκκῳ σινάπεως, οὐδὲν ὅ τι τῶν ἀδυνάτων τῇ φύσει δοκούντων ὑμῖν οὐχ ὑπάξει καὶ μεταστήσεται, τάχα δὲ οὐδ' αὕτη ἡ σμικρότης ἄχρηστος, ἂν μὴ πρὸς τὸ ὀλίγον καὶ μέρος, ἀλλὰ πρὸς τὸ ἀφανές τε καὶ κρύφιον αὐτὴν ἐκδεχώμεθα· καὶ γὰρ οἱ ἅγιοι μιμηταὶ τοῦ σωτῆρος ὄντες πρὸς μὲν τὸ εὐεργετεῖν ἀνθρώπους καὶ ἐπανορθοῦσθαι πηρώματα φύσεως ἢ προαιρέσεως ὅτι μάλιστα πρόχειρον τὴν θαυματουργικὴν δύναμιν εἶχον, εἰς δὲ τὸ κολάζειν ἢ εἰκαῖόν τι ποιεῖν οὐχ οὕτω ῥᾳδίαν, ἐπεὶ καὶ αὐτὸς ὁ δεσπότης ἀναριθμήτους ἀνθρώπους διασεσωκὼς ἅπαξ μόνον ἐπὶ ἀψύχῳ καὶ τούτῳ δένδρῳ τὴν κολαστικὴν ἐπεδείξατο δύναμιν, ἐφ' ᾧ καὶ τὸ ῥητὸν τουτὶ διωρίσατο · «ἐὰν» γάρ φησιν «ἔχητε πίστιν ὡς κόκκον σινάπεως οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε· ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν γενήσεται»· μονονουχὶ λέγων ὡς «ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε», οὐ πρόχειρόν τε καὶ ἐκκειμένην, ἀλλ' ἀφανῆ τε καὶ κρυφίαν ὡς «θησαυρὸν ἐν ὀστρακίνοις σκεύεσι», τὰ πάντων ἀδυνατώτατα δοκοῦντα γενήσεται, κελευόντων ὑμῶν.

f. 89r Ἔπειτα καὶ τοῦτο ἰστέον ὡς | ἐνίοτε ἡ γραφὴ τῷ καθ' ὑπερβολὴν λεγομένῳ τοῦ λόγου σχήματι κέχρηται τῶν πραγμάτων κατ' ἀλήθειαν οὐχ οὕτως ἐχόντων, ὡς ἔχει τὸ «ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται» καὶ τὸ «οὐδ' αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία». Τοιοῦτόν ἐστι καὶ τὸ παρόν. Ὑπερφυὲς γάρ τι καὶ ἀδύνατον ἐνδείξασθαι βουληθεὶς ὁ σωτὴρ ὄρους μετάθεσιν εἴρηκεν, ἐπεὶ ἄλλως γε τὸ μετακινεῖν τοὺς τῆς φύσεως ὅρους

22 - 23 cf. Joh. 15,5. 25 - 26 cf. Matth. 17,20, Mc. 11,23, Luc. 17,6. 28 - 29 cf. Eph. 5,1 30 - 31 cf. Luc. 10,17. 32 cf. Luc. 7,21. 32 - 33 cf. Matth. 21,19. 34 - 36 Matth. 21,21, cf. Mc. 11,23, Luc. 17,6. 38 IICor. 4,7. 42 Luc. 19,40. 42 - 43 Joh. 21,25. 45 cf. Matth. 21,21, 17,20, Mc. 11,23, Luc. 17,6.

20 *ἀλλότριον* VSA 21 *ἀλλὰ* iteratum in S 27 *οὐδ' αὐτὴ* VS *οὐδὲ αὐτὴ* P 29 post *ὄντες καὶ* M 30 ante *φύσεως* M praebet *σώματος*, sed correctio est prima manu 31 - 32 inter *κολάζειν* et *ἅπαξ* spatium vacuum in P *ἢ εἰκαῖον τι ποιεῖν* VSA 33 *ἐπεδείξαντο* S 34 *κόκκω* S 37 *καὶ μὴ διακριθῆτε* om. PVAM *οὐδὲ πρόχειρον* S *τὲ* om. M 39 *ἡμῶν* PVA 43 *χωρῆσαι* post *οἶμαι* S et sup. lin. M 45 *ἄλλως τε* S

20 - 21 Πρβλ. *«Ὁ δὲ Ἄρειος ἄντικρυς τῇ ἀληθείᾳ μαχόμενος κτίσμα καὶ ποίημα προσηγόρευε καὶ τὸ ἦν ποτε ὅτε οὐκ ἦν»*, Θεοδωρήτου Κύρου, Ἐκκλησιαστικῆς ἱστορίας, λόγοι πέντε, PG 82, 885B.

ἔνθα μηδεμία καλεῖ χρεία ὄρη τε ἐξαίρειν τῆς γῆς καὶ συκάμινον ἐν θαλάττῃ μεταφυτεύειν, ὅ φησιν ἕτερος εὐαγγελιστὴς οὔτε πρὸς τοῦ σωτῆρος ἦν οὔτε πρὸς τῶν αὐτοῦ μαθητῶν ἐπιδεικτιώντων δέ τινων καὶ δοξομανούντων ἀνθρώπων· οὐ γὰρ ἁπλῶς οὕτως ἐκπλῆξαι τῷ θεῷ καὶ τοῖς θείοις ἀνδράσι διὰ τῶν σημείων ἐστὶν ὁ σκοπός, ἀλλὰ διττὴν αὐτοῖς ἀεὶ ταῦτα χρείαν παρέχεται τούς τε δεομένους εὐεργετῆσαι καὶ διὰ τούτων αὐτούς τε καὶ τοὺς ὁρῶντας ἢ καὶ ἀκούοντας ἐπὶ τὴν πίστιν χειραγωγῆσαι. Διὰ τοῦτο καὶ τοῖς Φαρισαίοις ἐπειδὴ μὴ ἀρκούμενοι τοῖς πρὸς εὐεργεσίαν ἀνθρώπων σημείοις «ἐξ οὐρανοῦ σημεῖον ἐζήτουν» ἐξ ἀπονοίας, ἅπερ ἂν ἐκεῖνοι εἰργάσαντο φανητιῶντες, f. 89v | εἰ τὴν δύναμιν εἶχον, ἐπιπληκτικῶς μάλα καὶ ἀποτόμως ὁ Κύριος «γενεά» φησι «πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου». τότε φησὶν αὐτῇ τὸ προσῆκον σημεῖον ἐξ οὐρανοῦ δοθήσεται, ὅτε ἐπὶ σταυροῦ τῆς ζωῆς αὐτῶν ἐμοῦ κρεμαμένου μεσούσης ἡμέρας γενήσεται νὺξ καὶ ἔσται ἡμέρα καὶ οὐχ ἡμέρα καὶ νὺξ καὶ οὐχὶ νὺξ κατὰ τὸ προφητικὸν λόγιον, ἵνα τὸ τῶν τριῶν ἡμερῶν τε καὶ νυκτῶν ἐπὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου κατὰ τὸν Ἰωνᾶ τύπον ἐκπληρωθῇ, ὅπερ οὐκ ἄλλως ἦν ἐνδεχόμενον. Κατὰ μὲν τὴν ἡμέραν τοῦ Πάσχα δέον παθεῖν αὐτόν, ἥτις ἦν ἡ Παρασκευή· καὶ γὰρ εἰς ἀναίρεσιν ἁμαρτίας ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ τῷ πατρὶ θυσία προσήγετο· κατὰ δὲ τὴν κυριακὴν ἀναστῆναι, ἵνα ἡμῖν ἀντὶ τῆς ἑβδόμης εἰς ἑορτὴν ἡ ὀγδόη δοθῇ τύπος οὖσα τῆς μιᾶς καὶ ἀκαταλήκτου ἡμέρας μετὰ τὴν ἐνθένδε κατάπαυσιν ὑπὲρ ἧς πολλά τε καὶ πολλαχοῦ τοῖς ἁγίοις προφήταις ὑμνεῖται. Τοῦτο τοίνυν ἐδόθη τὸ σημεῖον τοῖς ἀλαζόσιν, ἐξ οὗ

46 - 47 cf. Luc. 17,6. 53 - 54 Joh. 20,30, Luc. 11,16, Matth. 16,1. 55 - 57 Matth. 12,39, cf. Mc. 8,38. 57 - 58 cf. Matth. 24,30. 61 cf. Matth. 12,40. 62 - 63 cf. Luc. 22,15, 16, Joh. 19,14. 63 cf. Ex. 12,5, 29,18, Joh. 1,29, 36. 65 cf. Lev. 23,36.

46 *θαλάσσῃ* P 52 *ἢ* om. M 56 *ἐπιζητεῖς* S 59 - 60 *καὶ ἔσται ἡμέρα καὶ οὐχ ἡμέρα καὶ νὺξ* om. PVSA 60 *τὸ* om. S 61 *Ἰωνᾶν* S 62 *ἐκδεχόμενον* S 63 *ἡ* om. M

49 - 52. *«Οὕτω καὶ τὸ χάρισμα τῶν γλωσσῶν τοῖς ἀποστόλοις ἐδόθη (θαῦμα τίνος οὐ θαυμαστότερον ;) οὐχ ἵνα τοὺς ἀνθρώπους ἐκπλήττοντες πρὸς τὴν αὐτῶν συνθήκην συνελκύσωσιν, ἀλλ' ἵνα τούτῳ τὴν ὑπουργίαν ἐξανύειν καλῶς, τούτου χωρὶς ἀμήχανον ὄν»*, Γεωργίου Σχολαρίου, Περὶ θαυμάτων, Ἅπαντα, τ. 3, σ. 374.

65. *Ὀγδόη* ὀνομάζεται ἡ ἑπομένη τῆς δευτέρας παρουσίας ζωή. Πρβλ. *«Ὥσπερ ἡ ὀγδόη σύμβολόν ἐστι τοῦ μέλλοντος αἰῶνος, δύναμιν ἀναστάσεως περιέχουσα, οὕτω καὶ ἡ ἑβδόμη σύμβολόν ἐστι τοῦ κόσμου τούτου»*, Ὠριγένους, Ἐξηγητικὰ εἰς Ψαλμούς, PG, 12, 1624B. Ἐπίσης : *«Ἐπεὶ ἀνέσπερον καὶ ἀδιάδοχον καὶ ἀτελεύτητον τὴν ἡμέραν ἐκείνην οἶδεν ὁ λόγος, ἣν καὶ ὀγδόην ὁ ψαλμῳδὸς προσηγόρευσε, διὰ τὸ ἔξω κεῖσθαι τοῦ ἑβδομαδικοῦ τούτου χρόνου»*, Βασιλείου Καισαρείας, Ὁμιλία 11η εἰς τὴν ἑξαήμερον, PG 29, 52A.

τότε ἐσείσθησαν τὰς καρδίας, εἰ γε μὴ παντάπασιν ἀναισθήτως εἶχον, μικρῷ δὲ ὕστερον πανωλεθρίᾳ πάντες ἄρδην ἐξαπολώλασι.

Τοιοῦτον ἦν καὶ τὸ Ἡρώδου ἦθος· «ἤλπιζε» γάρ «τί» φησι καὶ αὐτὸς f. 90r *«σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον» ᾧ γε οὐδὲ λόγῳ κεκοινώ|νηκεν ὁ σωτὴρ μή τοί γε δὴ σημείου. καὶ οἱ ἀπόστολοι τοίνυν αὐτῷ πειθόμενοι τὴν τοιαύτην δύναμιν οὕτω τοι κατὰ βάθους ἐγκεκρυμμένην ὡς μηδὲν ἐμφανεστέραν εἶναι κόκκου σινάπεως ὅποι τύχοι κειμένου, πλὴν εἰ μή τι πρὸς ἀπειλὴν ὅσον ἀνατείνασθαι μόνον ἐδέησέ ποτε· φαμένου γάρ ποτε τοῦ Σίμωνος μάγου πρός τινας ἐν ταῖς πρὸς τὸν μέγαν ἀπόστολον Πέτρον ἁμίλλαις, ὡς ἄρα οὗτος ὁ ἄνθρωπος ἅπασαν τὴν πόλιν ὑμῶν ἀνατρέψει, μετὰ παρρησίας ὁ θεῖος Πέτρος ὑπολαβὼν ἀληθῶς, ἔφη, πᾶσαν γὰρ ἄρτι τὴν πόλιν ὑμῶν ἐκ θεμελίων αὐτῶν ἀναστήσας ὑμῖν ἐπικατασείσω. Αὕτη ἡ φωνὴ τῆς ἐναποκειμένης πίστεως, οἷα κόκκῳ σινάπεως ἦν· ἤνυσε γοῦν τοσοῦτον καὶ ἐδενδρώθη καὶ ηὔξησεν οὕτω ταχέως, ὡς αὐτίκα πάντας ὁμοῦ μεταβληθέντας ὑπὸ τοῦ φόβου τῇ πίστει προσθέσθαι. Οὕτως εἰς καιρὸν αὐτῷ γέγονεν ἡ τοῦ γοῦν εἰρημένου δεσποτικοῦ ῥητοῦ χρῆσις. Διὰ τοῦτο καὶ ἡ βασιλεία τῶν οὐρανῶν, ὁ τοῦ εὐαγγελίου δηλαδὴ λόγος, ἑτέρωθι κόκκῳ σινάπεως ὑπ' αὐτοῦ παρεικάζεται τοῦ σωτῆρος, οὐ τοσοῦτον διὰ τὸ ἐν ἀρχαῖς ἐν μικροῖς ῥήμασι ταῖς τῶν πιστευόν-* f. 90v *των καρδίαις ἐγκατατίθεσθαι, ὅσον διὰ | τὸ προϊοῦσαν εἰς ὕψος ἀνατείνεσθαι μέγα καὶ εἰς πλάτος εὐρύνεσθαι ταῖς ἀεροπόροις καὶ θεωρητικαῖς διανοίαις, οἷά τισι πετεινοῖς γινομένην ἀνάπαυμα.*

Οὕτω μὲν οὖν κατὰ μίαν ἐπιβολὴν ἐκλαμβάνουσι τὸ ῥητόν, τὸν μὲν τοῦ σινάπεως κόκκον εἴς τε τὸ πολυδύναμον καὶ τὸ ἀφανὲς δεχομένοις τὴν δὲ τοῦ ὄρους μετάθεσιν εἰς τὸ ὑπερφυὲς καὶ ἀνήνυτον οὐδὲν ἐμποδὼν ἔσται τὸ τοῦ μεγάλου Παύλου «πᾶσαν τὴν πίστιν» ἀποφαινόμενον τὰ τοιαῦτα δύνα-

68 cf. Luc. 23,48. 70 - 72 Luc. 23,8-9 84 - 85 cf. Matth. 13,31. 92 ICor. 13,2.

69 *ἀπολώλασι* M 70 *τι* om. M 72 *τοί : τι* SAM *δὴ* om. A 73 *τοι : τι* VSAM 74 *ὅπη* S 75 *ἀνατείνεσθαι* A *φανομένου* A 82 *γοῦν : νῦν* AM 84 *δὴ λόγος* VSA 85 *διὰ* ante *τῶν* A 86 *ἀνατείνασθαι* M *ἀνατίθεσθαι* A 89 post *ἐπιβολὴν* scriptum est *ἐκβολὴν* sed correxit manus prima M 90 *ἀφανὲς* in marg. S

75 - 79. Μαρτυρεῖται ὅτι τοῦτο συνέβη ἐν Βυρητῷ. Πρβλ. Κλήμεντος Ῥώμης, Περὶ τῶν πράξεων ἐπιδημιῶν τε καὶ κηρυγμάτων τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου ἐπιτομή, PG 2, 512CD - 513A.

87. *ἀεροπόροις* : Πρβλ. *«ᾗπερ οὖν νοῦς ἐνούσας ἰδέας τῷ ὃ ἔστιν ζῷον, οἷαί τε ἔνεισι καὶ ὅσαι, καθορᾷ, τοιαύτας καὶ τοσαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν. εἰσὶν δὴ τέτταρες, μία μὲν οὐράνιον θεῶν γένος, ἄλλη δὲ πτηνὸν καὶ ἀεροπόρον, τρίτη δὲ ἔνυδρον εἶδος, πεζὸν δὲ καὶ χερσαῖον τέταρτον»,* Πλάτωνος, Τίμαιος 39e.

σθαι· κωλύει γὰρ οὐδὲν τὴν ὡς κόκκον σινάπεως οὖσαν τῷ ἀφανεῖ τε καὶ κεκρυμμένῳ πᾶσαν εἶναι τῷ μεγέθει τῷ τῆς δυνάμεως, ἅμα δὲ καὶ ἡ αἰτία συναναπέφαται τοῦ μηδέν τι τοιοῦτον ἐνεργῆσαι τοὺς ἀποστόλους ἢ τοὺς ἁγίους θαυματουργοῦντας· οὐ γὰρ ἡ ἐπίδειξις αὐτοῖς ἐσπουδάζετο, κἂν εἰ τὰ μάλιστα τὴν δύναμιν εἶχον. Διὰ τοῦτο καὶ τὰ μὲν ἄλλα σημεῖα τῇ προστακτικῇ φωνῇ ποιεῖν ἐκελεύθησαν· «ἀσθενοῦντας» γάρ φησι «θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε». τοῦτο δὲ οὐχ ὁμοίως, ἀλλ' «ἐρεῖτε τῷ ὄρει τούτῳ» καὶ αὖθις «ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ» ὡς δεόμενον μὲν ἁπάσης τῆς f. 91r *πίστεως, οὐκ ἀναγκαῖον | δὲ ἄλλως γίνεσθαι.*

Ἐπὶ δὲ τούτῳ κἀκεῖνο προσλογιστέον, ὅτι περ ἅπαξ δεδομένου καθ' ὑπερβολὴν εἰρῆσθαι τὸν λόγον, ἐφ' ᾧ τοὺς μαθητὰς θαρσαλεωτέρους ἐργάσασθαι πρὸς τοὺς μεγίστους κινδύνους ἰόντας· ὡς γὰρ πρόβατα ἐν μέσῳ λύκων ἐστέλλοντο. Οὐδὲ τοῦ λοιποῦ τοῦ ἐν λόγοις κάλλους ἀμελοῦσαν τὴν γραφὴν οἴδαμεν, ἀλλὰ καὶ συγκρούσεως αὐτῇ μέλειν ἔσθ' ὅτε καὶ ὀνομάτων ῥυθμοῦ καὶ τοῦ καιρίας ὅτι μάλιστα τὰς κλήσεις ἐφαρμόζειν τοῖς πράγμασιν.

Ἀπερίττοις γοῦν οὕτω καὶ γυμνοῖς παντὸς τοῦ πρὸς βοήθειαν ὅπλου τοῖς μαθηταῖς πεμπομένοις ὡς κόκκον μὲν σινάπεως ἐπιφέρεσθαι προσῆκε· τί γὰρ κουφότερον κόκκου ; ὄρη δὲ ἀκολούθως μετατιθέναι δύνασθαι τῷ κουφοτάτῳ τὰ μέγιστα κατεργάζεσθαι, τὸ γὰρ ἀντικείμενον κόκκῳ πρὸς ἄκραν ἀπόστασιν εἰς μὲν μέγεθος ὄρος εἰς δὲ φυὴν οὐ τὸ ὑπ' αὐτοῦ μόνον δένδρον, ἀλλὰ καὶ ἡ συκάμινος, ἥτις ἐστιν ἁδροτέρα καὶ μείζων αὐτοῦ. Διὰ τοῦτο θατέρου τῶν εὐαγγελιστῶν ὄρος εἰπόντος μετατιθέμενον, ἅτερος συκάμινον εἶπε. τὸ τοίνυν ἐκ κόκκου πρὸς ὄρος τε καὶ συκάμινον δύνασθαι τῆς τε ὑπερβολῆς ἔχεσθαι καὶ ἅμα τοῦ ἐν τῷ λόγῳ κάλλους εὐφυῶς οἰητέον.

f. 91v *Κατὰ δὲ ἀναγωγὴν τὸ | προκείμενον θεωροῦντες ἐκεῖνο φαμέν· ὡς ὄρος μέν ἐστι μετατιθέμενον, ὁ ἐπὶ τὰ φαῦλα κινῶν τοὺς ἀνθρώπους πονηρὸς καὶ ἀρχέκακος δαίμων, ὄρος μέγα διὰ τὸ τῆς ὑπερηφανίας ὕψος πολλαχοῦ τῆς γραφῆς καλούμενος, διὰ τοῦτο καὶ δεικτικῶς ἐπὶ τῇ τοῦ δαιμονῶντος ἰάσει*

98 - 99 Matth. 10,8. 104 cf. Matth. 10,16. 114 cf. Matth. 21,21. Luc. 17,6.

93 *κόκκος* P *κόκκω*$^{\text{ος}}$ M *κόκκω* S *τῶ* om. A 97 *τὴν δύναμιν εἶχον. Διὰ τοῦτο καὶ τὰ μὲν ἄλλα* om. S 98 *ἐκελεύσθησαν* SA 101 *δὲ* om. P 104 *πρόβατον* VS 106 *ῥυθμοῦ*$^{\text{ἀ}}$ (alia manus suprascripsit *ἀ*) A 109 *κόκκω* S 110 *κόκκου κουφότερον* VSAM 112 *ὑπόστασιν* M *εἰς μὲν* om. A 115 *ἐκ κόκκου* supr. lin. V 116 *νοητέον*$^{\text{οἱ}}$ M 118 *διατιθέμενον* S 119 *τὸ* om. A 120 *τῇ* om. PVSA

96. Ὁμοίως ὁ Γ. Σχολάριος, ἐν τῷ περὶ θαυμάτων, λέγει : *«ἡ τῶν θαυμάτων ἀκολουθία οὐκ ἐπιδείξεως χάριν ἦν, οὐδ' ὡς ἀνάγκην τοῖς ἀνθρώποις τοῦ πιστεύειν ἐπάξουσα»,* Ἅπαντα, τ. 3, σ. 378.

φησὶν ὁ κύριος «ἐρεῖτε τῷ ὄρει τούτῳ ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν». Συκάμινος δὲ ἡ τῆς σαρκὸς ἐμπαθὴς ἕξις καὶ ὁ φυσικῶς ἀντιστρατευόμενος ἐν τοῖς μέλεσι νόμος τῷ νόμῳ τοῦ πνεύματος, ἐκ τῆς γῆς οἱονεὶ τὴν τροφήν τε καὶ αὔξην ἔχων, ἅπερ ἀμφότερα μετατίθησί τε καὶ ἐξαιρεῖ τῆς ἐν ᾗ πεπήγασι ψυχῆς καὶ καρδίας ἡ μετὰ ταπεινώσεως δριμύττουσα πίστις· τοιοῦτον γὰρ καὶ τὸ σίνηπι· ἡ τὰ ἐν ἀνθρώποις μέγιστα καὶ τυραννικώτατα τῶν παθῶν ἡ κενοδοξία μὲν διὰ τοῦ ὄρους ἡ φιληδονία δὲ διὰ τῆς συκαμίνου δείκνυται, ὧν τὴν μὲν ἡ ταπείνωσις καθαιρεῖ τὴν δὲ ἡ ἐγκράτεια δριμύξασα ἀναιρεῖ καὶ ἀμφότερα τῷ τοῦ σινάπεως κόκκῳ διὰ τῆς παραβολῆς ἐμφαινόμενα, προηγουμένης πάντως τῆς πίστεως, «ἐὰν οὖν ἔχητε πίστιν ὡς κόκκον σινάπεως» ὡς τῆς τῶν δεχομένων τὴν χάριν καρδίας, οἱά τινος γῆς ἐπιλαμβανομένην καὶ ὑπὸ τῆς
f. 92r *ἐν αὐτῇ πίστεως, αὖθις οἷον | ἰκμάδος τινὸς τρεφομένην, δεῖ γὰρ καὶ ταύτης. καὶ τοῦτό γε ἀπαιτῶν ὁ κύριος ἔλεγε τὸ «εἰ δύνασθαι πιστεῦσαι πάντα δυνατὰ τῷ πιστεύοντι».*

Τὸ λοιπὸν οὕτως εἰς μέγεθος αὐξηθῆναι τόν τε τῆς ὑπερηφανίας δαίμονα καὶ πρὸς τούτῳ τὴν ἐμπαθῆ τῆς σαρκὸς ἕξιν αὐτῶν ἀποσπάσαντες ἐν τῇ θαλάσσῃ βαλεῖται τῆς ἀπωλείας, ἐν ᾗ φαραὼ μὲν πρότερον αὐτῇ στρατιᾷ καὶ ἵπποις καὶ ἅρμασιν, ὁ λεγεὼν δὲ ὕστερον δισχιλίους χοίρους συμπαραλαβὼν ἐποντώθησαν.

ΝΙΚΟΛΑΟΣ Γ. ΠΟΛΙΤΗΣ

---

121 Matth. 17,20, 21,21. 122 - 123 cf. Rom. 7,23. 130 Matth. 17,20. 133 - 134 Mc. 9,23. 137 - 138 cf. Ex. 14,28, Heb. 11,29. 138 cf. Luc. 8,30.

---

124 *αὔξιν* S *αὔξησιν* M 130 *ἔχοι* A *κόκκω* S *ὡς* : *ὥστε* VAM *ὅθεν* S 137 *πρότερον* om. PA

---

124. *αὔξην* : ἡ λ. σχεδὸν ἀποκλειστικῶς ἐν χρήσει παρὰ Πλάτωνι, Πρβλ. Πολιτ. 521e, 528b.

ΤΑ ΕΠΙΓΡΑΜΜΑΤΑ ΤΟΥ ΙΑΚ. ΔΙΑΣΣΩΡΙΝΟΥ

ΕΚΔΕΔΟΜΕΝΑ, ΠΡΟΣΓΡΑΦΟΜΕΝΑ ΚΑΙ ΑΝΕΚΔΟΤΑ ΚΕΙΜΕΝΑ

Εἰς τοὺς Ἕλληνας ποιητὰς καὶ δὴ καὶ ἐπιγραμματοποιοὺς τοῦ ιϛ´ αἰῶνος καταλέγεται καὶ ὁ Ἰάκωβος Διασσωρῖνος [1], ὅστις, πλάνητα βίον ζήσας, μετῆλθεν, ὡς γνωστόν, ἐπιτυχῶς καὶ τὸν ἀντιγραφέα χειρογράφων, ἅτινα καὶ ἀφιέρου δι᾿ ἐπιγραμμάτων εἰς τοὺς ἰσχυροὺς τῶν χρόνων του [2].

Τὰ ἐπιγράμματα τοῦ Διασσωρίνου, ὧν τὰ πλεῖστα ἔχουν ἐκδοθῆ ὑπὸ συντακτῶν καταλόγων χειρογράφων διαφόρων βιβλιοθηκῶν, εἶναι τὰ ἑπόμενα :

---

1. Περὶ τοῦ ὀνόματος ἰδ. Κ. Ι. Ἀμάντου, Γλωσσικὰ ἐκ Χίου, «Λαογραφία» Ζ´ (1923) ⟨Μνημόσυνον Ν. Γ. Πολίτου⟩, σ. 337 - 338 [= «Γλωσσικὰ Μελετήματα». ⟨«Ἀθηνᾶ». Σειρὰ διατριβῶν καὶ μελετημάτων 2⟩. Ἐν Ἀθήναις 1964, σ. 226 - 227].

2. Περὶ τοῦ ἀνδρὸς ἰδ. Ém. Legrand, Bibliographie Hellénique... XV - XVI siècles, t. I. Paris 1885, σ. 255, 296 - 302, t. II. Paris 1885, σ. 354 - 355. — L. Cohn, Const. Palaeocappa und Jac. Diassorinus, «Philologische Abhandlungen Martin Hertz dargebracht». Berlin 1888, σ. 123 - 143. — Ém. Legrand, Deux vies de Jacques Basilicos... l'une par Jean Sommer, l'autre par A. - M. Graziani... Paris 1889, σ. 217 - 236. Arthur Ludwich, Ein neuer Beitrag zur Charakteristik des Jakob Diassorinos, «Byzantinische Zeitschrift» I (1892), σ. 283 - 302. — L. Cohn, Diassorinos und Turnebos. «Saturna Viadrina». Festschrift zum fünfundzwanzigjahrigen Bestehen des philologischen vereins zu Breslau. Breslau 1896, σ. 110 - 121. — M. Vogel - V. Gardthausen, Die griechischen Schreiber des Mittelalters und der Renaissance. Leipzig 1909, σ. 152 - 154 (Χ. Πατρινέλη, Ἕλληνες κωδικογράφοι τῶν χρόνων τῆς Ἀναγεννήσεως, «Ἐπετηρὶς τοῦ Μεσαιωνικοῦ Ἀρχείου» 8 - 9 (1958 - 9), σ. 79). — Σπ. Π. Λάμπρου, Σταχυολογία ἐκ κωδίκων τοῦ Βαταβικοῦ Λουγδούνου, «Νέος Ἑλληνομνήμων» ΙΔ´ (1915), σ. 408 - 410 (ἔνθα καὶ ἀναγραφὴ παλαιοτέρας βιβλιογραφίας). — Ἠλ. Π. Βουτιερίδη, Ἱστορία τῆς Νεοελληνικῆς Λογοτεχνίας ἀπὸ τῶν μέσων τοῦ ΙΕ´ αἰῶνος μέχρι τῶν νεωτάτων χρόνων [τόμ. Α´]. Ἐκδ. οἶκος Μιχ. Ζηκάκη [Ἀθῆναι] 1924, σ. 307 - 312. — Φ. Κ. Μπουμπουλίδου, Ἕλληνες Λόγιοι μετὰ τὴν Ἅλωσιν. Β´ : Τὰ Ἐπιγράμματα τοῦ Ματθαίου Δεβαρῆ. Ἀθῆναι 1962, σ. 17. — H. Hunger, Aus den letzten Lebensjahren des Jacob Diassorinos, «Tome commémoratif du Millénaire de la Bibliothèque Patriarcal d'Alexandrie», Alexandrie 1953, σ. 90 - 99. — Εἰρ. Κουρούνη, Ἡ διδασκαλία τῶν ἑλληνικῶν γραμμάτων καὶ ἡ «θεματογραφία» τοῦ Διασωρηνοῦ, «Παρνασσὸς» ΙΑ´ (1960), σ. 434 - 447 (: Ἀγνοεῖται ἡ κυριωτάτη περὶ τοῦ ἀνδρὸς βιβλιογραφία).

α') Τὸ προτασσόμενον τῶν Στρατηγημάτων τοῦ Πολυαίνου, ἐν Cod. Escor. T - II - 20, f. IV^{v} [στίχ. 6] [1].

Inc. : *Ἑλλαδικῶν χαρίτων τὸ κλέος ὤλεσεν αἰὼν*

Τὸ αὐτὸ ἐπίγραμμα φέρεται ὑπὸ τὸν τίτλον *«Στίχοι ἡρωικοὶ»* καὶ εἰς ἕτερον ἀντίγραφον τοῦ αὐτοῦ ἔργου: Cod. Escor. Ω - IV - 21, f. 395^{v} [2].

β') Τὸ προτασσόμενον τοῦ Ἐγχειριδίου ἰατρικῆς τοῦ Μ. Ψελλοῦ, ἐν Cod. Escor. T - III - 1, f. IX^{v} [στίχ. 6] [3].

Inc. : *Καὶ τήνδ' Ἑλλήνων Κωνσταντίνῳ βασιλῆϊ*

γ') Τὸ προτασσόμενον τῶν Ἁρμονικῶν στοιχείων τοῦ Ἀριστοξένου, ἐν Cod. Escor. Φ - II - 21 [στίχ. 9] [4].

Inc. : *Μνησίεω φίλος υἱὸς Ἀριστόξεινος ἱκάνω*

δ') Τὸ προτασσόμενον τῶν Ὀκτὼ βιβλίων Ἀριθμητικῆς τοῦ Διοφάντου, μετὰ σχολίων τοῦ Μαξ. Πλανούδη, ἐν Cod. Escor. Ω - I - 15, f. 1^{r} [στίχ. 8] [5].

Inc. : *Ἐξ ἐμέθεν μερόπεσσιν ἀριθμοὶ πάντεσι δῆλοι*

ε') Τὸ ὑπὸ τὸν τίτλον *«Στίχοι εἰς τὴν θείαν ἱερουργίαν»*, ἐν Cod. Escor. Ω - IV - 16, f. 6^{v} [στίχ. 4] [6].

Inc. : *Θεῖα θεὸς τοῖς θείοις καὶ ἱεροῖσι προσάπτει*

ς') Τὸ προτασσόμενον τῶν Ὑπομνημάτων τοῦ Ἰω. Πεδιασίμου εἰς τὴν Κυκλικὴν θεωρίαν μετεώρων τοῦ Κλεομήδους, ὑπὸ τὸν τίτλον *«Εἰς τὸν περιφανέστατον καὶ σοφώτατον ἄνδρα τὸν ἀπὸ τῶν μυστηρίων τοῦ ἀηττήτου βασιλέως τῶν Βρεττανῶν κύριον Γονζάλον Περέτιον»*, ἐν Cod. Escor. Ω - IV - 23 [στίχ. 6] [7].

Inc. : *Καὶ τόδε σῆς πραπίδος πυκινόφρονος ἄξιόν ἐστι*

---

1. E. Miller, Catalogue des manuscrits grecs de la Bibliothèque de l'Escurial. Paris 1848, σ. 131 - 132. P. A. Revilla, Catálogo de los Códices Griegos de la Biblioteca de El Escorial, t. I. Madrid 1936, σ. 503 - 504.
2. E. Miller, Catalogue des manuscrits grecs..., ἔνθ' ἀν., σ. 494.
3. E. Miller, Catalogue des manuscrits grecs..., ἔνθ' ἀν., σ. 132 - 133. — P. A. Revilla, Catálogo de los Códices Griegos..., ἔνθ' ἀν., σ. 506 - 507.
4. E. Miller, Catalogue des manuscrits grecs..., ἔνθ' ἀν., σ. 163.
5. E. Miller, Catalogue des manuscrits grecs..., ἔνθ' ἀν., σ. 467 - 468.
6. E. Miller, Catalogue des manuscrits grecs..., ἔνθ' ἀν., σ. 491 - 492.
7. E. Miller, Catalogue des manuscrits grecs..., ἔνθ' ἀν., σ. 495 Ἰδ. καὶ Ch. Graux, Essai sur les origines du fonds Grec de l'Escurial. Épisode de l'histoire de la renaissance des lettres en Espagne. Paris 1880, σ. 32 - 39.

ζ') Τὸ προτασσόμενον τῶν Τακτικῶν τοῦ Αἰλιανοῦ, ὑπὸ τὸν τίτλον *«Εἰς τὸν εὐσεβέστατον καὶ ἀήττητον βασιλέα τῶν Βρεττανῶν Φίλιππον»*, ἐν Cod. Escor. Σ - III - 6, f. III^{v} [στίχ. 18] [1].

Inc. : *Αἰλιανοῦ βίβλος εἰμὶ πολύστονα ἔργματ' Ἄρηος*

η') Τὸ προτασσόμενον τοῦ ἔργου Ἐπιφανίου Κύπρου περὶ τῶν δώδεκα λίθων, ὑπὸ τὸν τίτλον *«Εἰς τὸν μεγαλοπρεπῆ κύριον Ἀντώνιον Μορίλιον, σοφώτατόν τε ἄνδρα καὶ λογιώτατον»*, ἐν Cod. Harleyan. Cr. 5564, f. 1^{r} [στίχ. 8] [2].

Inc. : *Ὄλβιε τήνδ' Ἀντώνιε πὰρ ξένοιο ἑταίρου*

θ') Τὸ προτασσόμενον τοῦ ἔργου Αἰνείου Γάζης, ὑπὸ τὸν τίτλον *«Εἰς τὸν εὐσεβέστατον καὶ ἱεροπρεπέστατον ἄνδρα κύριον Ἀδριανὸν Ἀμερότιον σοφώτατόν τε καθηγητὴν καὶ νουνεχέστατον»*, ἐν Cod Bruxell. 11337, f. 1^{v} [στίχ. 8] [3].

Inc. : *Ἀδριανέ, ξείνου ἀνδρὸς τόδε λάζεο δῶρον*

ι') Τὸ ὑπὸ τὸν τίτλον *«Εἰς τὸν αἰδεσιμώτατον Καρδινάλιν Βριττανίας καὶ περιφανέστατον πρεσβευτὴν τοῦ μεγίστου Ἀρχιερέως κύριον Πόλον, σοφώτατόν τε ἄνδρα καὶ εὐσεβέστατον»*, τὸ προτασσόμενον ἐπιστολῆς τοῦ Φωτίου περὶ τῶν Οἰκουμενικῶν συνόδων πρὸς τὸν Μιχαὴλ ἄρχοντα Βουλγαρίας, ἐν Cod. Taurin. 13. B. VI. 37, f. 3^{v} [στίχ. 10] [4].

Inc. : *Δέχνυσο σοῦ θεράποντος, ἀοίδιμε, ὄμματι πρᾴῳ*

Ὁ ἐκδότης τοῦ ἐπιγράμματος δὲν ἀποδίδει τοῦτο εἰς τὸν Διασσωρῖνον,

---

1. E. Miller, Catalogue des manuscrits grecs..., ἔνθ' ἀν., σ. 95 - 96 (Τὸ ἐπίγραμμα ἀναδημοσιεύεται καὶ ὑπὸ É. Legrand, Bibliographie Hellénique... XV - XVI s., t. I., σ. 299 - 300). — P. A. Revilla, Catálogo de los Códices Griegos..., ἔνθ' ἀν., σ. 351 - 353. Περὶ τοῦ ποιήματος ἰδ. καὶ H. Hunger, Ein griechisches Enkomion auf Königin Elisabeth I von England, «Scriptorium» VII (1953), σ. 116.
2. H. Omont, Notes sur les Manuscrits Grecs du British Museum ⟨Extrait de la «Bibliothèque de l'École de Chartes», t. XLV, p. 314 - 350⟩. Paris 1884, σ. 26 - 27 (Τὸ ἐπίγραμμα ἀναδημοσιεύεται ὑπὸ É. Legrand, Bibliographie Hellénique... XV - XVI s., t. II, σ. 419).
3. H. Omont, Catalogue des Manuscrits Grecs de la Bibliothèque royale de Bruxelles et des autres Bibliothèques publiques de Belgique ⟨Extrait de la «Revue de Bruxelles et de l'Instruction Publique» en Belgique, t. XXVII livr. 5 - 6 et XXVIII livr. 1 - 3⟩ Gand 1858, σ. 14 - 15 (Τὸ ἐπίγραμμα ἀναδημοσιεύεται ὑπὸ É. Legrand, Bibliographie Hellénique... XV - XVI s., t. II, σ. 419).
4. G. O. Zuretti, Indice dei mss. Greci Torinensi, non contenuti nel Catalogo del Pasini, «Studi Italiani di Filologia Classica» IV (1896), σ. 209.

καθ᾽ ὅσον μάλιστα τὸ χειρόγραφον ἔχει ἀντιγραφῆ ὑπὸ Κ. Παλαιόκαππα [1], διὰ χειρὸς τοῦ ὁποίου ὅμως ἐγράφη καὶ τὸ ἀνωτέρω ὑπ᾽ ἀρ. *η´* χειρόγραφον (Cod. Harl. 5564), ἐν ᾧ ἐπίσης εὕρηται ἐπίγραμμα τοῦ Διασσωρίνου.

Ὁπωσδήποτε ἐσωτερικὰ στοιχεῖα τοῦ ἐν λόγῳ ἀνωνύμου ἐπιγράμματος ἐπιτρέπουν νὰ ἀποδώσωμεν τοῦτο εἰς τὸν Διασσωρῖνον. Εἶναι δὲ τὰ στοιχεῖα ταῦτα : α) Ὁ τίτλος τῆς ἀφιερώσεως, ὅμοιος σχεδὸν πρὸς τὸν ἀναγραφόμενον ἐν τῷ κατωτέρω ὑπ᾽ ἀρ. ***ιβ´*** ἐπιγράμματι τοῦ αὐτοῦ Διασσωρίνου, ὅπερ ἀφιεροῦται εἰς τὸν αὐτὸν καρδινάλιον Πόλον. β) Φραστικαὶ ὁμοιότητες εἰς τοὺς τρεῖς πρώτους στίχους τοῦ ἀνωνύμου τούτου ἐπιγράμματος καὶ εἰς τὰ ὑπ᾽ ἀρ. ***ϛ´*** καὶ ***ιγ´*** ἐπιγράμματα τοῦ Διασσωρίνου·

Δέχνυσο . . . . ὄμματι πράῳ
τήνδε μικρὰν δέλτον...
τυτθὴ μὲν τελέθει, μέγα δ᾽ ἔμπης ἔστιν...

Δέχνυσο . . . .
καίπερ ἔνι μικρὸν ὄμματι εὐμενέϊ (***ιγ´***).
ἔμπης βαιὸν ἔνεστι (***ϛ´***).

γ) Ἡ ἐπανάληψις τῶν αὐτῶν στίχων (9 - 10) ἐν τῷ ἀνωνύμῳ τούτῳ ἐπιγράμματι καὶ ἐν τῷ ὑπ᾽ ἀρ. ***ια´*** (στ. 27 - 28) :

σοὶ γὰρ τῷ Τριάδος μύστῃ τάδε πάντα προσήκει
τῆς θεορημοσύνης θυμοτρόφου βιβλία [2].

σοὶ γὰρ : σοὶ γοῦν ||

ια´) Πλὴν τῶν ἐκδεδομένων ὡς ἄνω δέκα ἐπιγραμμάτων τοῦ Ἰακ. Διασσωρίνου, εὕρηται καὶ ἀνέκδοτον, τὸ *«Εἰς τὸν περιφανέστατον καὶ αἰδεσιμώτατ(ον) | ἐπίσκοπον Ἀτραβάτου κύριον Ἀντώ|νιον, σοφώτατόν τε ἄνδρα | καὶ φιλανθρωπότατ(ον)»*, ὅπερ προτάσσεται τοῦ ἔργου «Βασιλείου Καισαρείας τοῦ νέου Ὑπομνήματα εἰς λόγους Γρηγορίου τοῦ Θεολόγου», ἐν Cod. Voss. gr. 45 (ιϛ´ αἰ.), f. 1^{v} [στίχ. 32] [3].

1. Mart. Jugie, Une nouvelle invention au compte de Constantin Palaeocappa; Samonas de Gaza et son dialogue sur l'Euchraristie, «Miscellanea Giovanni Mercati». Vol. III ⟨Studi e Testi No. 123⟩, Roma 1946, σ. 342 - 359 (ἔνθα καὶ βιβλιογραφία).

2. Ἐν τῷ ἀνωτέρω ὑπ᾽ ἀρ. ***ϑ´*** ἐπιγράμματι τοῦ Διασσωρίνου εὕρηται καὶ ὁ στίχος (7) :

μύστην οὖν θεορημοσύνης τόνδ᾽ ἱεροφάντορ

3. H. Omont, Catalogue des Manuscrits Grecs des Bibliothèques des Pays-Bas, avec notes sur les mss. Grecs de Leyde ⟨Extrait du «Centralblatt für Bibliothekswesen», τ. IV, σ. 185 - 214⟩. Leipzig 1887, σ. 5 - 6. — K. A. de Meyier, Un manuscrit grec de la Bibliothèque d'Antoine Perrenot de Granvelle à la Bibliothèque Universitaire de Leyde, «Scriptorium» 2 (1948), σ. 290 - 291. — Τοῦ αὐτοῦ, Codices manuscripti. VI : Codices

29 - 9 - 1970

Inc. : *Εἰ μὲν ἐπαινεῖν τις μερόπων ἐρικυδέα χρήζοι*

Κατὰ τὸν Σπ. Λάμπρον [1], ἀναφερόμενον εἰς τὸν ἐν λόγῳ κώδικα, «περὶ τὸ μέσον τοῦ ἐπιγράμματος [, στίχ. 19 - 20, εὕρηται] τὸ ἑξῆς ἐπίγραμμα :

Ἀλλ᾽ ἄγε, τρισμακάριστε, σοφώτατον ἔργον Ἀθήνης,
βίβλον τήνδ᾽ ἱερὰν λάζεο εὐμενέως» [2].

